Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

II. C. 31.

Max Hoffmann.
No: 201.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

# SELECTA CAPITA

EX

# SCRIPTORIBVS GRAECIS

IN VSVM

IVVENTVTIS SCHOLASTICAE

EXCERPTA.

1901 S 333.

HALAE

IMPENSIS ORPHANOTROPHEI

MDCCLXXIII.

L. B.

Quae iam in lucem prodeunt, *Selecta capita*, eum in finem edenda curauimus, vt iuuenes harum literarum ſtudioſi, priusquam ad verſandos ſcriptores graecos quorum ſublimior eſt dicendi ratio, admitti poſſint, his quaſi tirociniis ad ſenſum pulchri et venuſti excitentur. Selegimus itaque locos ex *Aeliano* inprimis, *Aeſopo*, *Epicteto* et *Herodiano*, qui iuuenum ingenio prae reliquis viderentur accommodati, lectuque digni. *Cebetis* Tabulam adiunximus integram, quia iuuenibus praecipue commendanda eſſe videbatur. Quod reliquum eſt, laetabimur, ſi per hunc libellum eorum adiuuerimus ſtudia, qui literarum graecarum dulcedine, vt par eſt, adficiuntur.

OEN. BIBL. DER UNIVERS. HALLE

## I.

## EX AELIANI
# VARIIS HISTORIIS.

### De ranis aegyptiis.
(Lib. I. c. 3.)

Σοφόν τι ἄρα χρῆμα ἦν γένος βατράχων Αἰγυπτίων. καὶ ἓν καὶ τῶν ἄλλων ὑπερφέρουσι κατὰ πολύ. ἐὰν γὰρ ὕδρᾳ περιπέσῃ Νείλου θρέμματι βάτραχος, καλάμου τρύφος ἐνδακὼν, πλάγιον φέρει, καὶ ἀπρὶξ ἔχεται, καὶ οὐκ ἀνίησι κατὰ τὸ καρτερόν. ὁ δὲ ἀμηχανεῖ καταπιεῖν αὐτὸν αὐτῷ τῷ καλάμῳ. οὐ γὰρ οἱ χωρεῖ περιλαβεῖν τοσοῦτον τὸ στόμα, ὅσον ὁ κάλαμος διείργει. καὶ ἐκ τούτου περιγίνονται τῆς ῥώμης τῶν ὕδρων οἱ βάτραχοι τῇ σοφίᾳ. se * χωρει locus non est i.e. non licet.

A De

Die Subst: verb: in ρα zeigen die Sache selbst an, in ους aber, nur die Handlung [illegible]

## De cygno.

(L. I. c. 14.)

Λέγει Ἀριστοτέλης τὸν κύκνον καλλίπαιδα εἶναι, καὶ πολύπαιδα, ἔχειν γε μὴν καὶ θυμόν. πολλάκις γοῦν εἰς ὀργὴν καὶ μάχην προελθόντες, καὶ ἀλλήλους ἀπέκτειναν οἱ κύκνοι. λέγει δὲ ὁ αὐτὸς, καὶ μάχεσθαι τοὺς κύκνους τοῖς ἀετοῖς, ἀμύνασθαί γε μὴν αὐτοὺς ἀλλ᾽ οὐκ ἄρχειν ἀδίκων. ὅτι δέ εἰσι φιλῳδοὶ, τοῦτο μὲν ἤδη καὶ τεθρύλληται. ἐγὼ δὲ ᾄδοντος κύκνου οὐκ ἤκουσα, ἴσως δὲ οὐδὲ ἄλλος. πεπίστευται οὖν, ὅτι ᾄδει, καὶ λέγουσί γε, αὐτὸν μάλιστα ἐκεῖνον εἶναι τὸν χρόνον εὐφωνότατον, καὶ ᾠδικώτατον, ὅταν ᾖ περὶ τὴν καταστροφὴν τοῦ βίου. διαβαίνουσι δὲ καὶ πέλαγος, καὶ πέτονται καὶ κατὰ θαλάσσης, καὶ αὐτοῖς οὐ κάμνει τὸ πτερόν.

## De Socrate cicutam bibere iusso.

(L. I. c. 16.)

Ὅτε ἧκεν ἡ ναῦς ἡ ἐκ Δήλου, καὶ ἔδει Σωκράτην ἀποθνήσκειν, ἀφίκετο εἰς τὸ δεσμωτήριον Ἀπολλόδωρος, ὁ τοῦ Σωκράτους ἑταῖρος, χιτῶνά τε αὐτῷ φέρων ἐρίων πολυτελῆ καὶ εὐήτριον, καὶ ἱμάτιον τοιοῦτο. καὶ ἠξίου ἐνδύντα αὐτὸν τὸν χιτῶνα, καὶ θοἰμάτιον περιβαλλόμενον, εἶτα οὕτω πιεῖν τὸ φάρμακον. ἔλεγε γὰρ αὐτῷ, καλῶν ἐνταφίων μὴ ἀμοιρήσειν, εἰ ἐν αὐτοῖς ἀποθάνοι· καὶ γὰρ οὖν καὶ προκεῖσθαι σὺν τῷ κόσμῳ τὸν νεκρὸν οὐ πάνυ τι ἀδόξως. ταῦτα τὸν Σωκράτην ὁ Ἀπολλόδωρος. ὁ δὲ οὐκ

ἠνέ-

ἠνέχετο, ἀλλ' ἔφη πρὸς τοὺς ἀμφὶ τὸν Κρίτωνα, καὶ Σιμμίαν, καὶ Φαίδωνα. καὶ πῶς ὑπὲρ ἡμῶν καλῶς Ἀπολλόδωρος οὕτω δοξάζει, εἴγε αὐτὸ πεπίστευκεν, ὅτι μετὰ τὴν ἐξ Ἀθηναίων φιλοτησίαν, καὶ τὸ τοῦ φαρμάκου πόμα, ἔτι οὕτως ὄψεται Σωκράτην. εἰ γὰρ οἴεται τὸν ὀλίγον ὕστερον ἐῤῥιμμένον ἐν ποσὶ καὶ κεισόμενόν γ' ἐμὲ εἶναι, δῆλός ἐστί με οὐκ εἰδώς.

## De Ismenia Perſarum regem honeſto modo adorante.

(L. I. c. 21.)

Ἰσμηνίου τοῦ Θηβαίου σοφὸν ἅμα καὶ ἑλληνικὸν, οὐκ ἂν ἀποκρυψαίμην ἔργον. πρεσβεύων οὗτος ὑπὲρ τῆς πατρίδος πρὸς βασιλέα τῶν Περσῶν, ἀφίκετο μὲν, ἐβούλετο δὲ αὐτὸς, ὑπὲρ ὧν ἧκεν, ἐντυχεῖν τῷ Πέρσῃ. ἔφατο οὖν πρὸς αὐτὸν ὁ χιλίαρχος, ὁ καὶ τὰς ἀγγελίας εἰσκομίζων τῷ βασιλεῖ, καὶ τοὺς δεομένους εἰσάγων· Ἀλλ' ὦ ξένε Θηβαῖε, (ἔλεγε δὲ ταῦτα παίζων δι' ἑρμηνέως, Τιθραύστης δὲ ἦν ὄνομα τῷ χιλιάρχῳ) νόμος ἐστὶν ἐπιχώριος Πέρσαις, τὸν εἰς ὀφθαλμοὺς ἐλθόντα τοῦ βασιλέως, μὴ πρότερον λόγου μεταλαγχάνειν, πρὶν ἢ προσκυνῆσαι αὐτόν. εἰ τοίνυν αὐτὸς διὰ σαυτοῦ συγγενέσθαι θέλεις αὐτῷ, ὥρα σοὶ τὰ ἐκ τοῦ νόμου δρᾷν· εἰ δὲ μὴ, τὸ αὐτὸ σοι τοῦτο καὶ δι' ἡμῶν ἀνυσθήσεται, καὶ μὴ προσκυνήσαντι. ὁ τοίνυν Ἰσμηνίας, Ἄγε με, εἶπε. καὶ προσελθὼν καὶ ἐμφανὴς τῷ βασιλεῖ γενόμενος, περιελόμενος τὸν δακτύλιον, ἔῤῥιψεν ἀδήλως παρὰ τοὺς πόδας, ὃν ἔτυχε φορῶν, καὶ ταχέως ἐπικύψας, ὡς δὴ προσκυνῶν, πάλιν ἀνείλετο αὐ-

τὸν, καὶ δόξαν μὲν ἀπέστειλε τῷ Πέρσῃ προσκυνήσεως· ὃ μὴν ἔδρασεν οὐδὲν τῶν ἐν τοῖς Ἕλλησιν αἰσχύνην φερόντων· πάντα οὖν ὅσα ἠβουλήθη κατεπράξατο, οὐδὲ ἠτύχησέ τι ἐκ τοῦ Πέρσου.

## De munificentia Alexandri in Phocionem, et huius in illum.

(L. 1. c. 25.)

Ἀλέξανδρος ὁ Φιλίππου (εἰ δέ τῳ δοκεῖ, ὁ τοῦ Διὸς, ἐμοὶ γὰρ οὐδὲν διαφέρει) Φωκίωνι μόνῳ, φασὶ, τῷ Ἀθηναίων στρατηγῷ γράφων, προσετίθει τὸ χαίρειν. οὕτως ἄρα ἠρήκει τὸν Μακεδόνα ὁ Φωκίων. ἀλλὰ καὶ τάλαντα αὐτῷ ἀργυρίου ἔπεμψεν ἑκατὸν, καὶ πόλεις τέσσαρας ὠνόμασεν, ὧν ἠξίου μίαν, ἣν βούλεται, προελέσθαι αὐτὸν, ἵνα ἔχῃ καρποῦσθαι τὰς ἐκεῖθεν προσόδους. ἦσαν δὲ αἱ πόλεις αἵδε, Κίος, Ἐλαία, Μύλασα, Πάταρα. ὁ μὲν οὖν Ἀλέξανδρος μεγαλοφρόνως ταῦτα καὶ μεγαλοπρεπῶς. ἔτι γε μὴν μεγαλοφρονέστερον ὁ Φωκίων, μήτε τὸ ἀργύριον προσιέμενος, μήτε τὴν πόλιν. ὡς δὲ μὴ δοκοίη πάντῃ ὑπερφρονεῖν τοῦ Ἀλεξάνδρου, ἐτίμησεν αὐτὸν κατὰ τοῦτο· τοὺς ἐν τῇ ἄκρᾳ, τῇ ἐν Σάρδεσι, δεδεμένους ἄνδρας ἠξίωσεν αὐτὸν ἀφεῖναι ἐλευθέρους αὐτῷ, Ἐχεκρατίδην τὸν σοφιστὴν, καὶ Ἀθηνόδωρον τὸν Ἱμεραῖον, καὶ Δημάρατον, καὶ Σπάρτωνα, ἀδελφὼ δὲ ἄρα ἤστην οὗτοι Ῥοδίω.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

## De temporis parsimonia apud Lacedaemonios.

(L. 2. c. 5.)

Λακεδαιμόνιοι δεινὴν ἐποιοῦντο τοῦ χρόνου τὴν φειδὼ, ταμιευόμενοι πανταχόθεν αὐτὸν εἰς τὰ ἐπειγόμενα, καὶ μηδενὶ τῶν πολιτῶν ἐπιτρέποντες, μήτε ῥᾳστωνεύειν, μήτε ῥᾳθυμεῖν εἰς αὐτόν. ὡς ἂν μὴ πρὸς τὰ ἔξω τῆς ἀρετῆς ἀναλισκόμενος, εἶτα μάτην διαφθείροιτο. μαρτύριον τούτου πρὸς τοῖς ἄλλοις καὶ τοῦτο. ἀκούσαντες οἱ ἔφοροι Λακεδαιμονίων, τοὺς Δεκέλειαν καταλαβόντας περιπάτῳ χρῆσθαι δειλινῷ, ἐπέστειλαν αὐτοῖς, μὴ περιπατεῖτε· ὡς τρυφώντων αὐτῶν μᾶλλον, ἢ τὸ σῶμα ἐκπονούντων. δεῖν γὰρ Λακεδαιμονίους οὐ διὰ τοῦ περιπάτου, ἀλλὰ διὰ τῶν γυμνασίων τὴν ὑγείαν πορίζεσθαι.

## De Timotheo, cum Platonem differentem audiuisset, minus felicem se putante.

(L. 2. c. 10.)

Τιμόθεον ἀκούω τὸν Κόνωνος, τὸν Ἀθηναίων στρατηγὸν, ὅτε ἐν ἀκμῇ τῆς εὐτυχίας ἦν, καὶ ᾕρει τὰς πόλεις ῥᾷστα, καὶ οὐκ εἶχον Ἀθηναῖοι, ὅποι ποτὲ αὐτὸν καταθῶνται ὑπὸ θαύματος τοῦ περὶ τὸν ἄνδρα. ἀλλὰ τοῦτόν γε Πλάτωνι τῷ Ἀρίστωνος περιτυχόντα, βαδίζοντι ἔξω τοῦ τείχους μετά τινων γνωρίμων, καὶ ἰδόντα σεμνὸν μὲν ἰδεῖν τὸ πλάτος, ἵλεων δὲ τῷ προσώπῳ, διαλεγόμενον δὲ οὐχὶ

περὶ εἰσφορᾶς χρημάτων, οὐδὲ ὑπὲρ τριήρων, οὐδὲ ὑπὲρ ναυτικῶν χρειῶν, οὐδὲ ὑπὲρ πληρωμάτων, οὐδὲ ὑπὲρ τοῦ δεῖν βοηθεῖν, οὐδὲ ὑπὲρ φόρου τοῦ τῶν συμμάχων, οὐδὲ ὑπὲρ τῶν νησιωτῶν, ἢ ὑπὲρ ἄλλου τινὸς τοιούτου φληνάφου. ὑπὲρ ἐκείνων δὲ, ὧν ἔλεγε Πλάτων, καὶ ὑπὲρ ὧν εἴθιστο σπουδάζειν, ἐπιστάντα τὸν Τιμόθεον τὸν τοῦ Κόνωνος, εἰπεῖν· ὦ τοῦ βίου, καὶ τῆς ὄντως εὐδαιμονίας. ἐκ τούτων οὖν δῆλον, ὡς ἑαυτὸν οὐ πάνυ τι εὐδαίμονα ἀπέφαινεν ὁ Τιμόθεος, ὅτι μὴ ἐν τούτοις, ἀλλ' ἐν τῇ παρ' Ἀθηναίων δόξῃ καὶ τιμῇ ἦν.

## De Socrate in comoedia ab Ariſtophane taxato.

(L. 2. c. 13.)

Ἐπετίθεντο τῷ Σωκράτει, καὶ ἐπεβούλευον, οἱ ἀμφὶ τὸν Ἄνυτον, ὧν χάριν, καὶ δι' ἃς αἰτίας, λέλεκται πάλαι. ὑφορώμενοι δὲ τοὺς Ἀθηναίους, καὶ δεδιότες, ὅπως ποτὲ ἕξουσι πρὸς τὴν κατηγορίαν τοῦ ἀνδρός. πολὺ γὰρ ἦν τὸ τοῦ Σωκράτους ὄνομα, διά τε τὰ ἄλλα, καὶ ὅτι τοὺς σοφιστὰς ἤλεγχεν, οὐδὲν ὑγιὲς ὄντας, οὐδέ τι σπουδαῖον ἢ εἰδότας ἢ λέγοντας. ἐκ τούτων οὖν ἐβουλήθησαν πεῖραν καταθεῖναι ὑπὲρ τῆς κατ' αὐτοῦ διαβολῆς. τὸ μὲν γὰρ ἄντικρυς ἀπενέγκαθαι γραφὴν κατ' αὐτοῦ παραχρῆμα, οὐκ ἐδοκίμαζον δι' ἃ προεῖπον, καὶ δι' ἐκεῖνα δὲ, μή ποτε ἄρα ἀγριάναντες οἱ φίλοι οἱ τοῦ Σωκράτους ἐξάψωσι κατ' αὐτῶν τοὺς δικαστὰς, εἶτά τι πάθωσι κακὸν ἀνήκεστον, ἅτε συκοφαντοῦντες ἄνδρα, οὐ μόνον οὐδενὸς αἴτιον κακοῦ τῇ πόλει, ἐκ δὲ τῶν ἐναντίων καὶ κόσμον ταῖς Ἀθήναις ὄντα. τί οὖν ἐπινοοῦσιν

νοοῦσιν

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

νοῦσιν; Ἀριστοφάνην τὸν τῆς κωμῳδίας ποιητὴν, βωμολόχον ἄνδρα καὶ γελοῖον ὄντα, καὶ εἶναι σπεύδοντα, ἀναπείθουσι κωμῳδῆσαι τὸν Σωκράτη ταῦτα δήπου τὰ περιφερόμενα. ὡς ἦν ἀδολέσχης, λέγων τε αὖ καὶ τὸν ἥττω λόγον ἀπέφαινε κρείττονα, καὶ ἐσῆγε ξένους δαίμονας, καὶ οὐκ ᾔδει θεοὺς, οὐδ' ἐτίμα. τὰ δὲ αὐτὰ ταῦτα, καὶ τοὺς προσιόντας αὐτῷ ἐδίδασκέ τε, καὶ εἰδέναι ἀνέπειθεν. ὁ δὲ Ἀριστοφάνης λαβόμενος ὑποθέσεως εὖ μάλα ἀνδρικῆς, ὑποσπείρας γέλωτα, καὶ τὸ ἐκ τῶν μέτρων αἱμύλον, καὶ τὸν ἄριστον τῶν Ἑλλήνων λαβὼν ὑπόθεσιν· οὐ γὰρ οἱ κατὰ 1) Κλέωνα ἦν τὸ δρᾶμα, οὐδὲ ἐκωμῴδει Λακεδαιμονίους, ἢ Θηβαίους, ἢ Περικλέα αὐτόν· ἀλλ' ἄνδρα τοῖς τε ἄλλοις θεοῖς φίλον, καὶ δὴ καὶ μάλιστα τῷ Ἀπόλλωνι. ἅτε οὖν ἀήθες πρᾶγμα καὶ ὅραμα παράδοξον ἐν σκηνῇ καὶ κωμῳδίᾳ Σωκράτης, πρῶτον μὲν ἐξέπληξεν ἡ κωμῳδία τῷ ἀδοκήτῳ τοὺς Ἀθηναίους. εἶτα δὲ καὶ φύσει φθονεροὺς ὄντας, καὶ τοῖς ἀρίστοις βασκαίνειν προαιρουμένους, οὐ μόνον τοῖς ἐν τῇ πολιτείᾳ καὶ ταῖς ἀρχαῖς, ἀλλ' ἔτι καὶ πλέον τοῖς εὐδοκιμοῦσιν, ἢ ἐν λόγοις ἀγαθοῖς, ἢ ἐν βίου σεμνότητι, 2) ἄκουσμα ἔδοξεν ἥδιστον αἵδε αἱ Νεφέλαι, καὶ ἐκρότουν τὸν ποιητὴν ὡς οὔποτε ἄλλοτε, καὶ ἐβόων νικᾷν, καὶ προσέταττον τοῖς κριταῖς ἄνωθεν Ἀριστοφάνην, ἀλλὰ μὴ ἄλλον, γράφειν. καὶ τὰ μὲν τοῦ δράματος τοιαῦτα. ὁ δὲ Σωκράτης σπάνιον μὲν ἐπεφοίτα τοῖς θεάτροις, εἴποτε δὲ Εὐριπίδης ὁ τῆς τραγῳδίας ποιητὴς ἠγωνίζετο καινοῖς τραγῳδοῖς, τότε γε ἀφικνεῖτο. καὶ Πειραιοῖ δὲ ἀγωνιζομένου τοῦ Εὐριπίδου καὶ ἐκεῖ κατῄει. ἔχαιρε γὰρ τῷ ἀνδρὶ, δηλονότι διά τε



1) Κλέωνος. 2) ὡς.

τὴν σοφίαν αὐτοῦ καὶ τὴν ἐν τοῖς μέτροις ἀρετήν. ἤδη δέ ποτε αὐτὸν ἐρεσχελῶν Ἀλκιβιάδης ὁ 1) Κλινίου, ἢ Κριτίας ὁ Καλλαίσχρου, καὶ κωμῳδῶν ἀκοῦσαι παρελθόντα εἰς τὸ θέατρον ἐξεβιάσαντο. ὁ δὲ αὐτοῖς οὐκ ἠρέσκετο, ἀλλὰ δεινῶς κατεφρόνει (ἅτε ἀνὴρ σώφρων, καὶ δίκαιος, καὶ ἀγαθὸς, καὶ ἐπὶ τούτοις σοφὸς) ἀνδρῶν κερτόμων, καὶ ὑβριστῶν, καὶ ὑγιὲς λεγόντων οὐδέν. ἅπερ ἐλύπει δεινῶς αὐτούς. καὶ ταῦτα οὖν τῆς κωμῳδίας ἦν αὐτῷ τὰ σπέρματα, ἀλλ᾽ οὐ μόνον ἃ παρὰ τοῦ Ἀνύτου καὶ Μελίτου ὡμολόγηται. εἰκὸς δὲ καὶ χρηματίσασθαι ὑπὲρ τούτων Ἀριστοφάνην· καὶ γὰρ βουλομένων, μᾶλλον δὲ ἐκ παντὸς συκοφαντῆσαι τὸν Σωκράτην σπευδόντων ἐκείνων, καὶ αὐτὸν δὲ πένητα ἅμα καὶ κατάρατον ὄντα, τί παράδοξον ἦν, ἀργύριον λαβεῖν ἐπ᾽ οὐδενὶ ὑγιεῖ; καὶ ὑπὲρ μὲν τούτων αὐτὸς οἶδεν. εὐδοκίμει δ᾽ οὖν αὐτῷ τὸ δρᾶμα. καὶ γάρ τοι καὶ τὸ τοῦ Κρατίνου, τοῦτο συνέβη εἴποτε ἄλλοτε, καὶ τότε, τῷ θεάτρῳ νοσῆσαι τὰς φρένας. καὶ ἅτε ὄντων Διονυσίων, πάμπολύ τι χρῆμα τῶν Ἑλλήνων σπουδῇ τῆς θέας ἀφίκετο. περιφερομένου τοίνυν ἐν τῇ σκηνῇ τοῦ Σωκράτους, καὶ ὀνομαζομένου πολλάκις, οὐκ ἂν δὲ θαυμάσαιμι, εἰ καὶ βλεπομένου ἐν τοῖς ὑποκριταῖς. (δῆλα γὰρ δὴ, ὅτι καὶ οἱ σκευοποιοὶ ἔπλασαν αὐτὸν, ὡς ὅτι 2) κάλλιστα ἐξεικάσαντες) ἀλλ᾽ οἵγε ξένοι, τὸν γὰρ κωμῳδούμενον ἠγνόουν, θροῦς παρ᾽ αὐτῶν ἐπανίσταται, καὶ ἐζήτουν, ὅς τίς ποτε οὗτος ὁ Σωκράτης ἐστίν. ὅπερ οὖν ἐκεῖνος αἰσθόμενος (καὶ γὰρ τοι καὶ παρῆν οὐκ ἄλλως, οὐδὲ ἐκ τύχης, εἰδὼς δὲ, ὅτι κωμῳδοῦσιν αὐτόν. καὶ δὴ καὶ ἐν καλῷ τοῦ θεά-

1) Κλεινίου. 2) μάλιστα.

θεάτρȣ ἐκάθητο.) ἵνα ȣ̃ν λύσῃ τὴν τῶν ξένων ἀπορίαν, ἐξαναςὰς, παρ᾽ ὅλον τὸ δρᾶμα, ἀγωνιζομένων τῶν ὑποκριτῶν, ἑςὼς ἐϐλέπετο. τοσȣ̃τον ἄρα περιῆν τῷ Σωκράτει τῆς κωμῳδίας, καὶ Ἀθηναίων καταφρονεῖν.

## De Alexandro, qui Deum ſe appellari voluit.

(L. 2. c. 19.)

Ἀλέξανδρος ὅτε ἐνίκησε Δαρεῖον, καὶ τὴν Περσῶν ἀρχὴν κατεκτήσατο, μέγα ἐφ᾽ ἑαυτῷ φρονῶν, καὶ ὑπὸ τῆς εὐτυχίας, τῆς περιλαϐȣ́σης αὐτὸν τότε, ἐκθεȣ́μενος, ἐπέςειλε τοῖς Ἕλλησι, θεὸν αὐτὸν ψηφίσασθαι. γελοίως γε· ȣ̓ γὰρ ἅπερ ȣ̃ν ἐκ τῆς φύσεως ȣ̓κ εἶχε, ταῦτα ἐκ τῶν ἀνθρώπων αἰτῶν ἐκεῖνος ἐκέρδαινεν. ἄλλοι μὲν ȣ̃ν ἄλλα ἐψηφίσαντο, Λακεδαιμόνιοι δὲ ἐκεῖνα· ἐπειδὴ Ἀλέξανδρος βȣ́λεται θεὸς εἶναι, ἔςω θεός. Λακωνικῶς τε ἅμα καὶ κατὰ τὸν ἐπιχώριον σφίσι τρόπον, ἐλέγξαντες τὴν ἔμπληξιν οἱ Λακεδαιμόνιοι τȣ̃ Ἀλεξάνδρȣ.

## Quod dies ſextus Februarii Graecis fuerit auſpicatus.

(L. 2. c. 25.)

Τὴν ἕκτην τȣ̃ μηνὸς τȣ̃ θαργηλιῶνος πολλῶν καὶ ἀγαθῶν αἰτίαν γενέσθαι λέγȣσιν, ȣ̓ μόνον τοῖς Ἀθηναίοις, ἀλλὰ καὶ ἄλλοις πολλοῖς· αὐτίκα γȣ̃ν Σωκράτης ἐν ταύτῃ ἐγένετο. καὶ Πέρσαι δὲ ἡττήθησαν τῇ ἡμέρᾳ ταύτῃ· καὶ Ἀθηναῖοι δὲ τῇ Ἀγρο-



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

τέρα ἀποθύȣσι τὰς χιμαίρας τὰς τριακοσίας, κατὰ τὴν εὐχὴν τȣ̃ Μιλτιάδȣ δρῶντες τȣ̃το. τȣ̃ δ' αὐτȣ̃ μηνὸς ἕκτῃ ἱςαμένȣ, καὶ τὴν ἐν Πλαταιαῖς μάχην φασὶ γενέσθαι, καὶ νικῆσαι τȣ̀ς Ἕλληνας. τὴν γὰρ προτέραν ἧτῖαν αὐτῶν, ἧς ἐμνήσθην, τὴν ἐπ' Ἀρτεμισίῳ γεγονέναι. καὶ τὴν ἐν Μυκάλῃ δὲ τῶν Ἑλλήνων νίκην ȣ̓κ ἄλλης ὡμολόγηται δῶρον ἡμέρας γενέσθαι, ἢ ταύτης, εἴγε κατὰ τὴν αὐτὴν ἐνίκων καὶ ἐν Πλαταιαῖς καὶ ἐν Μυκάλῃ. καὶ Ἀλέξανδρον δὲ τὸν Μακεδόνα, τὸν Φιλίππȣ παῖδα, τὰς πολλὰς μυριάδας τὰς τῶν βαρβάρων φθεῖραι καὶ αὐτὸν λέγȣσιν ἕκτῃ ἱςαμένȣ, ὅτε καὶ Δαρεῖον καθεῖλεν Ἀλέξανδρος. καὶ ὁμολογȣ̃σι τȣ̃ αὐτȣ̃ μηνὸς πάντα. καὶ αὐτὸν δὲ τὸν Ἀλέξανδρον, καὶ γενέσθαι, καὶ ἀπελθεῖν τȣ̃ βίȣ, τῇ αὐτῇ ἡμέρᾳ, πεπίςευται.

## Quod ſomnus ſit mortis frater.

(Lib. 2. c. 35.)

Γοργίας ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τȣ̃ βίȣ, καὶ γεγηρακὼς εὖ μάλα, ὑπό τινος ἀσθενείας καταληφθεὶς, κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο. ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπȣ́μενος, καὶ ἤρετο, τί πράτῖοι; ὁ Γοργίας ἔφη, ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τῷ ἀδελφῷ.

## De Socrate ſene et aegroto.

(L. 2. c. 36.)

Σωκράτης δὲ καὶ αὐτὸς βαθύτατα γηρῶν, εἶτα νόσῳ περιπεσὼν, ἐπεί τις αὐτὸν ἠρώτησε, πῶς

πῶς ἔχει; καλῶς, εἶπε, πρὸς ἀμφότερα. ἐὰν μὲν γὰρ ζῶ, ζηλωτὰς ἕξω πλείονας· εἰ δὲ ἀποθάνω, ἐπαινέτας πλείονας.

## De Tempibus thessalicis.

(L. 3. c. 1.)

Φέρε οὖν καὶ τὰ καλούμενα Τέμπη τὰ Θετταλικὰ διαγράψωμεν τῷ λόγῳ καὶ διαπλάσωμεν. ὡμολόγηται γὰρ καὶ ὁ λόγος, ἐὰν ἔχῃ δύναμιν φραστικὴν, μηδὲν ἀσθενέστερον ὅσα βούλεται δεικνύναι τῶν ἀνδρῶν, τῶν κατὰ χειρουργίαν δεινῶν. Ἔστι δὴ χῶρος μεταξὺ κείμενος τοῦ τε Ὀλύμπου, καὶ τῆς Ὄσσης· ὄρη δὲ ταῦτ᾽ ἐστιν ὑπερύψηλα, καὶ οἷον ὑπό τινος θείας φροντίδος διεσχισμένα, καὶ μέσον δέχεται χωρίον, οὗ τὸ μὲν μῆκος ἐπὶ τεσσαράκοντα διήκει σταδίους. τόγε μὴν πλάτος τῇ μέν ἐστι πλέθρου, τῇ δὲ καὶ πλεῖον ὀλίγῳ. διαῤῥεῖ δὲ μέσου αὐτοῦ ὁ καλούμενος Πηνειός· εἰς τοῦτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ συῤῥέουσι, καὶ ἀνακοινοῦνται τὸ ὕδωρ αὐτῷ, καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν. διατριβὰς δ᾽ ἔχει ποικίλας, καὶ παντοδαπὰς ὁ τόπος οὗτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα, εἰς κάλλος τότε φιλοτιμησαμένης, ὅτε ἐλάμβανε γένεσιν ὁ χῶρος. κιττὸς μὲν γὰρ πολὺς, καὶ εὖ μάλα λάσιος ἐνακμάζει καὶ τέθηλε, καὶ δίκην τῶν εὐγενῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων ἀνέρπει, καὶ συμπέφυκεν αὐτοῖς. πολλὴ δὲ 1) σμίλαξ, ἡ μὲν πρὸς αὐτὸν τὸν πάγον ἀνατρέχει καὶ ἐπισκιάζει τὴν πέτραν, καὶ ἐκείνη μὲν ὑπολαν-

1) μίλαξ.

λανθάνει. ὁρᾶται δὲ τὸ χλοάζον πᾶν, καὶ ἔστιν ὀφθαλμῶν πανήγυρις. ἐν αὐτοῖς δὲ τοῖς λείοις καὶ καθημένοις, ἄλση τέ ἐστι ποικίλα, καὶ ὑποδρομαὶ συνεχεῖς, ἐν ὥρᾳ θέρους καταφυγεῖν ὁδοιπόροις ἥδιστα καταγώγια, ἃ καὶ δίδωσιν ἀσμένως ψυχᾶσθαι. διαῤῥέουσι δὲ καὶ κρῆναι συχναὶ, καὶ ἐπιῤῥεῖ νάματα ὑδάτων ψυχρῶν, καὶ πιεῖν ἡδίστων. λέγεται δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λουσαμένοις ἀγαθὸν εἶναι, καὶ εἰς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. κατᾴδουσι δὲ καὶ ὄρνιθες ἄλλος ἄλλῃ διεσπαρμένοι, καὶ μάλιστα οἱ μουσικοὶ, καὶ ἑστιῶσιν εὖ μάλα τὰς ἀκοάς. καὶ παραμέλπουσιν ἀπόνως, καὶ σὺν ἡδονῇ, διὰ τοῦ μέλους τὸν κάματον τῶν παριόντων ἀφανίσαντες. παρ᾽ ἑκάτερα δὲ τοῦ ποταμοῦ αἱ διατριβαί εἰσιν αἱ προειρημέναι, καὶ αἱ ἀνάπαυλαι. διὰ μέσων δὲ τῶν Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ἔρχεται, σχολῇ καὶ πρᾴως προϊὼν ἐλαίου δίκην. πολλὴ δὲ κατ᾽ αὐτοῦ ἡ σκιὰ ἐκ τῶν παραπεφυκότων δένδρων καὶ τῶν ἐξηρτημένων κλάδων τίκτεται· ὡς ἐπὶ πλεῖστον τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀποστέγειν τὴν ἀκτῖνα, καὶ παρέχειν τοῖς πλέουσι 1) πλεῦν κατὰ ψῦχος. πᾶς δὲ ὁ περίοικος λεὼς συνίασιν, ἄλλοι σὺν ἄλλοις, καὶ θύουσι, καὶ συνουσίας ποιοῦνται, καὶ συμπίνουσιν. ἅτε οὖν πολλῶν ὄντων τῶν θυόντων, καὶ τῶν καθαγιζομένων συνεχῶς, εἰκότως καὶ τοῖς βαδίζουσι καὶ τοῖς πλέουσιν ὀσμαὶ συμπαρομαρτοῦσιν ἥδισται. οὕτως ἄρα ἡ τιμὴ ἡ διαρκὴς, ἡ περὶ τὸ κρεῖττον, ἐκθεοῖ τὸν τόπον. ἐνταῦθά τοι, φασὶ παῖδες Θετταλῶν, καὶ τὸν Ἀπόλλωνα τὸν Πύθιον καθήρασθαι κατὰ πρόσταγμα τοῦ Διὸς, ὅτε τὸν Πύθωνα τὸν 2) δράκοντα

1) πλεῖν. 2) Δράκοντα.

κοντα κατετόξευσεν, ἔτι φυλάττοντα τὰς Δελφὰς, τῆς γῆς ἐχέσης τὸ μαντεῖον. ςεφανωσάμενον ἐν ἐκ ταύτης τῆς δάφνης τῆς Τεμπικῆς, καὶ λαβόντα κλάδον εἰς τὴν δεξιὰν χεῖρα (ἐκ τῆς αὐτῆς δάφνης) ἐλθεῖν εἰς Δελφὰς, καὶ παραλαβεῖν τὸ μαντεῖον τὸν Διὸς καὶ Λητᾶς παῖδα. ἔςι δὲ καὶ βωμὸς ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ καὶ ἐςεφανώσατο, καὶ τὸν κλάδον ἀνεῖλε. καὶ ἔτι καὶ νῦν ἔτες ἐννάτε οἱ Δελφοὶ παῖδας εὐγενεῖς πέμπεσι, καὶ ἀρχιθέωρον ἕνα σφῶν αὐτῶν. οἱ δὲ παραγενόμενοι καὶ μεγαλοπρεπῶς θύσαντες ἐν τοῖς Τέμπεσιν, ἀπίασι πάλιν ςεφάνες ἀπὸ τῆς αὐτῆς δάφνης διαπλέξαντες, ἀφ᾽ ἧσπερ ἐρῶν καὶ τότε ὁ θεὸς ἐςεφανώσατο. καὶ τὴν ὁδὸν ἐκείνην 1) ἔρχεται, ἣ καλεῖται μὲν Πυθιὰς, φέρει δὲ διὰ Θετταλίας, καὶ Πελαγονίας, καὶ τῆς Οἴτης, καὶ τῆς Αἰνιάνων χώρας, καὶ τῆς Μηλιέων, καὶ Δωριέων, καὶ Λοκρῶν τῶν Ἑσπερίων. ὅτοι δὲ καὶ παραπέμπεσιν αὐτὰς σὺν αἰδοῖ καὶ τιμῇ, ὅδὲν ἧττον, ἤπερ ὧν ἐκεῖνοι, οἱ τὰς ἐξ Ὑπερβορέων τὰ ἱερὰ κομίζοντας τῷ αὐτῷ θεῷ τέτῳ τιμῶσι. καὶ μὴν καὶ τοῖς Πυθίοις ἐκ ταύτης τῆς δάφνης τοῖς νικῶσι τὰς ςεφάνες διδόασιν. ὑπὲρ μὲν ὧν τῶν ἐν Θετταλίᾳ Τεμπῶν, καὶ ἐμοὶ νῦν τοσαῦτα εἰρήσθω.

## De pietate Aeneae.

(L. 3. c. 22.)

Ὅτε ἑάλω τὸ Ἴλιον, οἰκτείραντες οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας, καὶ πάνυ ἑλληνικῶς

1) ἔρχονται.

κῶς τοῦτο ἐκήρυξαν, ἕκαστον τῶν ἐλευθέρων ἐν ὅ, τι καὶ βούλεται τῶν οἰκείων ἀποφέρειν ἀράμενον. ὁ οὖν Αἰνείας τοὺς πατρῴους θεοὺς βαστάσας ἔφερεν ὑπεριδὼν τῶν ἄλλων. ἡσθέντες οὖν ἐπὶ τῇ τοῦ ἀνδρὸς εὐσεβείᾳ οἱ Ἕλληνες, καὶ δεύτερον αὐτῷ κτῆμα συνεχώρησαν λαβεῖν. ὁ δὲ τὸν πατέρα πάνυ σφόδρα γεγηρακότα ἀναθέμενος ὤμοις ἔφερεν. ὑπερεκπλαγέντες οὖν καὶ ἐπὶ τούτῳ οὐχ ἥκιστα, πάντων αὐτῷ τῶν οἰκείων κτημάτων ἀπέστησαν· ὁμολογοῦντες, ὅτι πρὸς τοὺς εὐσεβεῖς τῶν ἀνθρώπων, καὶ τοὺς θεοὺς καὶ τοὺς γειναμένους δι' αἰδοῦς ἄγοντας, καὶ οἱ φύσει πολέμιοι ἥμεροι γίνονται.

## De Platonis humilitate et Aristotelis ingratitudine.

(L. 4. c. 9.)

Πλάτων ὁ Ἀρίστωνος ἐν Ὀλυμπίᾳ συνεσκήνωσεν ἀγνῶσιν ἀνθρώποις, καὶ αὐτὸς ὢν αὐτοῖς ἀγνώς. οὕτως δὲ αὐτοὺς ἐχειρώσατο, καὶ ἀνεδήσατο τῇ συνουσίᾳ, συνεστιώμενός τε αὐτοῖς ἀφελῶς, καὶ συνδιημερεύων ἐν πᾶσιν, ὡς ὑπερησθῆναι τοὺς ξένους τῇ τοῦ ἀνδρὸς συντυχίᾳ, οὔτε δὲ Ἀκαδημίας ἐμέμνητο, οὔτε Σωκράτους· αὐτό γε μὴν τοῦτο ἐνεφάνισεν αὐτοῖς, ὅτι καλεῖται Πλάτων.

Ἐπεὶ δὲ ἦλθον εἰς τὰς Ἀθήνας, ὑπεδέξατο αὐτοὺς εὖ μάλα φιλοφρόνως. καὶ οἱ ξένοι, ἄγε, εἶπον, ὦ Πλάτων, ἐπίδειξον ἡμῖν καὶ τὸν ὁμώνυμόν σου τὸν Σωκράτους ὁμιλητὴν, καὶ ἐπὶ τὴν Ἀκαδημίαν ἥγησαι τὴν ἐκείνου, καὶ 1) ἐπισύστησον τῷ ἀνδρί,

1) ἀποσύστησον.

ἀνδρὶ, ἵνα τι καὶ αὐτοῦ ἀπολαύσωμεν. ὁ δὲ ἠρέμα ὑπομειδιάσας, ὥσπερ οὖν καὶ εἰώθει, ἀλλ᾽ ἐγὼ, φησὶν, αὐτὸς ἐκεῖνός εἰμι. οἱ δὲ ἐξεπλάγησαν, εἰ τὸν ἄνδρα ἔχοντες μεθ᾽ ἑαυτῶν τὸν τοσοῦτον, ἠγνόησαν, ἀτύφως αὐτοῦ συγγενομένου καὶ ἀνεπιτηδεύτως αὐτοῖς, καὶ δείξαντος, ὅτι δύναται καὶ ἄνευ τῶν συνήθων λόγων χειροῦσθαι τοὺς συνόντας.

1) Ὁ Πλάτων τὸν Ἀριστοτέλη ἐκάλει πῶλον. τί δὲ ἐβούλετο 2) αὐτοῦ τὸ ὄνομα ἐκεῖνο; δηλονότι ὡμολόγηται, τὸν πῶλον, ὅταν κορεσθῇ τοῦ μητρῴου γάλακτος, λακτίζειν τὴν μητέρα. ᾐνίττετο οὖν καὶ ὁ Πλάτων ἀχαριστίαν τινὰ τοῦ Ἀριστοτέλους. καὶ γὰρ ἐκεῖνος τὰ μέγιστα εἰς φιλοσοφίαν παρὰ Πλάτωνος λαβὼν σπέρματα καὶ ἐφόδια, εἶτα ὑποπλησθεὶς τῶν ἀρίστων, καὶ ἀφηνιάσας, ἀντῳκοδόμησεν αὐτῷ διατριβὴν, καὶ ἀντιπαρεξήγαγεν ἐν τῷ περιπάτῳ ἑταίρους ἔχων, καὶ ὁμιλητὰς, καὶ ἐγλίχετο ἀντίπαλος εἶναι Πλάτωνι.

## De honore, quem Dionysius Platoni exhibuit.

(L. 4. c. 18.)

Ὅτε κατῆλθε Πλάτων ἐν Σικελίᾳ κλητὸς, πολλὰ ἐπὶ πολλοῖς ἐπιστείλαντος τοῦ Διονυσίου, καὶ ἀνήγαγεν αὐτὸν ἐπὶ τὸ ἅρμα ὁ νέος Διονύσιος, αὐτὸς μὲν ἡνιοχῶν, παραιβάτην δὲ ποιησάμενος τὸν Ἀρίστωνος. τότε 3) δέ φασι Συρακούσιον ἄνδρα, χαρίεντα, καὶ τῶν Ὁμήρου μὴ ἀπαίδευτον, ἡσθέντα τῇ

ὄψει

1) Ὅτι Πλ. 2) αὐτῷ. 3) δή.

ὄψει ταύτῃ, ἐπειπεῖν τὰ ἐξ Ἰλιάδος ἐκεῖνα, παρατρέψαντα ὀλίγον·

Μέγα δ' ἔβραχε φήγινος ἄξων
Βριθοσύνῃ, δεινὸν γὰρ ἄγε βροτὸν, ἄνδρα τ' ἄριστον.

Ὅτι ὑπόπλης ὢν εἰς πάντας ὁ Διονύσιος, ὅμως εἰς Πλάτωνα τοσαύτην 1) εἶχεν αἰδῶ, ὡς ἐκεῖνον μόνον εἰσιέναι πρὸς αὐτὸν μὴ ἐρευνώμενον, καίτοι Δίωνος αὐτὸν ἐπιστάμενος ἑταῖρον εἰς τὰ ἔσχατα εἶναι.

## Quomodo conſeruanda ſit amicitia.

(L. 4. c. 24.)

Λεωπρεπὴς ὁ Κεῖος, ὁ τοῦ Σιμωνίδου πατὴρ, ἔτυχέ ποτε ἐν παλαίστρᾳ καθήμενος, εἶτα μειράκια πρὸς ἀλλήλους οἰκείως διακείμενα ἤρετο τὸν ἄνδρα, πῶς ἂν αὐτοῖς ἡ φιλία διαμένοι μάλιστα; ὁ δὲ εἶπεν· ἐὰν ταῖς ἀλλήλων ὀργαῖς ἐξίστασθε, καὶ μὴ ὁμόσε χωροῦντες τῷ θυμῷ, εἶτα παροξύνητε ἀλλήλους κατ' ἀλλήλων.

## De Herculis columnis.

(L. 5. c. 3.)

Ἀριστοτέλης τὰς νῦν Ἡρακλείους στήλας καλουμένας, πρινὴ κληθῆναι τοῦτο, φησὶ Βριάρεω καλεῖσθαι αὐτάς. ἐπεὶ δὲ καθῆρε γῆν καὶ θάλασσαν Ἡρακλῆς, καὶ ἀναμφιλόγως εὐεργέτης ἐγένετο

1) ἔσχεν.

το τῶν ἀνθρώπων, τιμῶντες αὐτὸν, τὴν μὲν Βριάρεω μνήμην παρ' ἐδὲν ἐποιήσαντο, Ἡρακλεῖες δὲ προσηγόρευσαν.

## De Epaminondae inopia animique magnitudine.

(L. 5. c. 5.)

Ἐπαμινώνδας ἕνα εἶχε τρίβωνα, καὶ αὐτὸν ῥυπῶντα. εἴ ποτε δὲ αὐτὸν ἔδωκεν εἰς γναφεῖον, αὐτὸς ὑπέμενεν οἴκοι δι' ἀπορίαν ἑτέρε. ἐν δὴ τέτοις τῆς περιεσίας ὢν, τε Περσῶν βασιλέως πέμψαντος αὐτῷ πολὺ χρυσίον, ἐ προσήκατο. καὶ εἴ τι ἐγὼ νοῶ, μεγαλοφρονέστερος ἦν τε διδόντος ὁ μὴ λαβών.

## De Atheniensium superstitione.

(L. 5. c. 17.)

Ὅτι τοσἔτον ἦν Ἀθηναίοις δεισιδαιμονίας, εἴ τις πρινίδιον ἐξέκοψεν ἐξ Ἡρῴε, ἀπέκτειναν αὐτόν. ἀλλὰ καὶ Ἀτάρβην, ὅτι τε Ἀσκληπιε τὸν ἱερὸν στρεθὸν ἀπέκτεινε πατάξας, ἐκ ἀργῶς τἔτο Ἀθηναῖοι παρεῖδον, ἀλλ' ἀπέκτειναν Ἀτάρβην, καὶ ἐκ ἔδοσαν ἔτε 1) ἀνίας συγγνώμην, ἔτε μανίας, πρεσβύτερα τέτων ἀμφοτέρων τὰ τε θεε ποιησάμενοι. ἐλέγετο γὰρ ἀκεσίως, οἱ δὲ μεμηνὼς τἔτο δρᾶσαι.

## Scythae cuiusdam responsum de frigore.

(L. 7. c. 6.)

Χιόνος ποτὲ πιπτέσης, ἤρετο ὁ βασιλεὺς τῶν Σκυθῶν τινα, εἰ ῥιγοῖ, γυμνὸν διακαρτερἔντα.



1) ἀγνοίας.

ται. ὁ δὲ αὐτὸν ἀντήρετο, εἰ τὸ μέτωπον ῥιγοῖ. τῦ δὲ, ὖ, φήσαντος, ἐκῦν, εἶπεν, ὐδὲ ἐγὼ, πᾶς γὰρ μέτωπόν εἰμι.

## De Philippi continentia. (L. 8. c. 15.)

Ἐν Χαιρωνείᾳ τὺς Ἀθηναίυς νίκη ἐνίκησε Φίλιππος, ἐπαρθεὶς δὲ τῇ εὐπραγίᾳ, ὅμως λογισμῦ ἐκράτησε, καὶ ὐχ ὕβρισε. καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἕωθεν, ὅτι ἄνθρωπός ἐςιν· καὶ προσέταξε τῷ παιδὶ τῦτο ἔχειν ἔργον, καὶ ὐ πρότερόν φασιν, ὔτε αὐτὸς προῄει, ὔτε τις τῶν δεομένων αὐτῦ παρ᾽ αὐτὸν εἰσῄει, πρὶν τῦτο αὐτῷ τὸν παῖδα ἑκάςης ἡμέρας ἐκβοῆσαι τρίς. ἔλεγε δὲ αὐτῷ, Φίλιππε, ἄνθρωπος εἶ.

## De Pauſania et Simonide. (L. 9. c. 41.)

Ἐν τινι, φασὶ, συνδείπνῳ παρῆν Σιμωνίδης ὁ Κεῖος, καὶ Παυσανίας ὁ Λακεδαιμόνιος. προσέταξεν ὖν ὁ Παυσανίας τῷ Σιμωνίδῃ σοφόν τι εἰπεῖν. ὁ δὲ γελάσας ὁ Κεῖος, μέμνησο (εἶπεν) ἄνθρωπος ὤν. τῦτο παραχρῆμα μὲν ἐξεφαύλισε Παυσανίας, καὶ παρ᾽ ὐδὲν ἔθετο. ὑποτυφόμενος ἤδη εἰς τὸν τῦ μηδίζειν ἔρωτα, καὶ μεγαλοφρονῶν ἐπὶ τῇ πρὸς βασιλέα ξενίᾳ, ἴσως δὲ καὶ ὑπὸ τῦ οἴνυ παραφερόμενος. ἐπεὶ δὲ ἦν πρὸς τῇ Χαλκιοίκῳ, καὶ διεπάλαιε τῷ λιμῷ, καὶ ἔμελλεν ἀποθνήσκειν ἀνθρώπων ἀλγεινότατα, ἀλλὰ τηνικαῦτα ἐμνήσθη τῦ Σιμωνίδυ, καὶ ἐξεβόησεν εἰς τρὶς, ὦ ξένε Κεῖε, μέγα τι ἄρα χρῆμα ἦν ὁ λόγος σῦ, ἐγὼ δὲ ὑπ᾽ ἀνοίας ὐδὲν αὐτὸν ᾤμην εἶναι.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

## De Platone. (L. 10. c. 21.)

Ὅτι τὸν Πλάτωνα ἡ Περικτιόνη ἔφερεν ἐν ταῖς ἀγκάλαις. θύοντι δὲ τῷ Ἀρίστωνι ἐν Ὑμηττῷ ταῖς Μούσαις, ἢ ταῖς Νύμφαις, οἱ μὲν πρὸς τὴν ἱερουργίαν ἦσαν, ἡ δὲ κατέκλινε Πλάτωνα ἐν ταῖς πλησίον μυρρίναις, δασείαις οὔσαις καὶ πυκναῖς. καθεύδοντι δὲ ἑσμὸς μελισσῶν Ὑμηττίου μέλιτος ἐν τοῖς χείλεσιν αὐτοῦ καθίσασαι ὑπῇδον, τὴν τοῦ Πλάτωνος εὐγλωττίαν μαντευόμεναι ἐντεῦθεν.

## De pauperrimis, qui dona respuerint. (L. 11. c. 9.)

Οἱ τῶν Ἑλλήνων ἄριστοι πενίᾳ διέζων παρὰ πάντα τὸν βίον· ἐπαινείτωσαν οὖν πλοῦτόν τινες ἔτι, μετὰ τοὺς τῶν Ἑλλήνων ἀρίστους, οἷς ἡ πενία παρὰ πάντα τὸν βίον συνεκληρώθη. εἰσὶ δὲ οὗτοι, οἷον Ἀριστείδης ὁ Λυσιμάχου, ἀνὴρ πολλὰ μὲν ἐν πολέμῳ κατορθώσας, καὶ τοὺς φόρους δὲ τοῖς Ἕλλησι τάξας. ἀλλ' οὗτός γε ὁ τοιοῦτος οὔτε ἐντάφια ἑαυτῷ κατέλιπεν ἱκανά· καὶ Φωκίων δὲ πένης ἦν, Ἀλεξάνδρου δὲ πέμψαντος αὐτῷ τάλαντα ἑκατὸν, ἠρώτα, διὰ τίνα αἰτίαν μοι δίδωσιν; ὡς δ' εἶπον, ὅτι μόνον αὐτὸν ἡγεῖται Ἀθηναίων καλὸν καὶ ἀγαθόν· οὐκοῦν, ἔφη, ἐασάτω με τοιοῦτον εἶναι.

Καὶ Ἐπαμινώνδας δὲ ὁ Πολύμνιδος πένης ἦν. Ἰάσονος δὲ αὐτῷ πέμψαντος πεντήκοντα 1) χρυσία, ὅδε, ἀδίκων, ἔφη, ἄρχεις χειρῶν. δανεισάμενος δὲ παρά τινος τῶν πολιτῶν πεντήκοντα δραχμὰς ἐφόδιον, εἰς Πελοπόννησον ἐνέβαλε. πυθόμενος δὲ τὸν ὑπασπιστὴν αὐτοῦ χρήματα εἰληφέναι παρά τινος



1) χρυσοῦς.

τινος τῶν αἰχμαλώτων, ἐμοὶ μὲν, εἶπεν, ἀπόδος τὴν ἀσπίδα· σεαυτῷ δὲ πρίω καπηλεῖον, ἐν ᾧ καταζήσεις. οὐ γὰρ ἔτι κινδυνεύειν ἐθελήσεις, πλούσιος γενόμενος.

Πελοπίδας δὲ ἐπιτιμώντων αὐτῷ τῶν φίλων, ὅτι χρημάτων ἀμελεῖ, πράγματος εἰς τὸν βίον λυσιτελοῦς, Νὴ τὸν Δία, εἶπε, λυσιτελὲς, ἀλλὰ Νικομήδει τούτῳ, δείξας χωλόν τινα καὶ ἀνάπηρον.

Ὅτι 1) Σκιπίων τέσσαρα καὶ πεντήκοντα ἔτη βιώσας, οὐδὲν οὔτε ἐπρίατο, οὔτε ἀπέδοτο· οὕτως ἄρα ὀλίγων ἐδεῖτο. ἀσπίδα δὲ αὐτῷ τινος ἐπιδείξαντος εὖ κεκοσμημένην, εἶπεν· ἀλλὰ τόν γε Ῥωμαῖον ἄνδρα προσήκει ἐν τῇ δεξιᾷ τὰς ἐλπίδας ἔχειν, ἀλλ' οὐκ ἐν τῇ ἀριστερᾷ.

Ὅτι Ἐφιάλτης ὁ Σοφωνίδου πενέστατος ἦν· δέκα δὲ τάλαντα διδόντων αὐτῷ τῶν ἑταίρων, ὅδε οὐ προσήκατο, εἰπών· ταῦτά με ἀναγκάσει αἰδούμενον ὑμᾶς, καταχαρίσασθαί τι τῶν δικαίων· μὴ αἰδούμενον δὲ, μηδὲ χαριζόμενον ὑμῖν, ἀχάριστον δόξαι.

## De Zoilo. (L. 11. c. 10.)

Ζωΐλος ὁ Ἀμφιπολίτης, ὁ καὶ εἰς Ὅμηρον γράψας, καὶ εἰς Πλάτωνα, καὶ εἰς ἄλλους, Πολυκράτους μὲν ἀκουστὴς ἐγένετο. οὗτος δὲ ὁ Πολυκράτης καὶ τὴν κατηγορίαν ἔγραψε τὴν κατὰ Σωκράτους· ἐκαλεῖτο δὲ Ζωΐλος οὗτος, κύων ῥητορικός. ἦν δὲ τοιοῦτος· τὸ μὲν γένειον αὐτῷ καθεῖτο, κέκαρτο δὲ ἐν χρῷ τὴν κεφαλὴν, καὶ θοιμάτιον ὑπὲρ τὸ γόνυ ἦν. ἤρα δὲ ἀγορεύειν κακῶς, καὶ ἀπε-

χθά-

1) Σκηπίων.

χθάνεσθαι πολλοῖς χολὴν εἶχε, καὶ ψογερὸς ἦν ὁ κακοδαίμων. ἤρετο οὖν αὐτόν τις τῶν πεπαιδευμένων, διὰ τί κακῶς λέγει πάντας. ὁ δὲ, ποιῆσαι γὰρ κακῶς βουλόμενος οὐ δύναμαι.

## De Phocione ἀμνησικάκῳ. (L. 12. c. 49.)

Φωκίων ὁ τοῦ Φώκου, πολλάκις στρατηγήσας, κατεγνώσθη θανάτῳ, καὶ ἦν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἔμελλε πιεῖσθαι τὸ κώνειον. ἐπεὶ δὲ ὤρεξεν ὁ δήμιος τὴν κύλικα, οἱ προσήκοντες ἤροντο, εἴ τι λέγοι πρὸς τὸν υἱόν; ὁ δὲ, ἐπισκήπτω αὐτῷ, μηδὲν Ἀθηναίοις μνησικακήσειν ὑπὲρ τῆς παρ' αὐτῶν φιλοτησίας, ἧς νῦν πίνω. ὅς τις δὲ οὐκ ἐπαινεῖ καὶ ὑπερθαυμάζει τὸν ἄνδρα, δοκεῖ μοι μέγα ὁ τοιοῦτος ἐννοεῖν οὐδέν.

## Menecrates a Philippo irrisus. (L. 12. c. 51.)

Μενεκράτης ὁ ἰατρὸς εἰς τοσοῦτον προῆλθε τύφου, ὥστε ἑαυτὸν ὀνομάζειν Δία. ἀπέστειλε δέ ποτε ἐπιστολὴν Φιλίππῳ τῷ Μακεδόνων βασιλεῖ τοιαύτην· Φιλίππῳ Μενεκράτης ὁ Ζεὺς εὖ πράττειν. ἀντέγραψε δὲ καὶ ὁ Φίλιππος· Φίλιππος Μενεκράτει ὑγιαίνειν. συμβουλεύω σοι προσάγειν σεαυτὸν ἐπὶ τοῖς κατὰ Ἀντίκυραν τόποις. ᾐνίττετο δὲ ἄρα διὰ τούτων, ὅτι παραφρονεῖ ὁ ἀνήρ.

Εἱστία ποτὲ μεγαλοπρεπῶς ὁ Φίλιππος, καὶ δὴ καὶ τοῦτον ἐπὶ θοίνην ἐκάλεσε, καὶ ἰδίᾳ κλίνην αὐτῷ ἐκέλευσε παρεσκευάσθαι. καὶ κατακλιθέντι θυμιατήριον παρέθηκε, καὶ ἐθυμιᾶτο αὐτῷ. οἱ δὲ λοιποὶ εἱστιῶντο, καὶ ἦν μεγαλοπρεπὲς τὸ δεῖπνον. ὁ τοίνυν



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

Μενεκράτης τὰ μὲν πρῶτα ἐνεκαρτέρει, καὶ ἔχαιρε τῇ τιμῇ. ἐπεὶ δὲ κατὰ μικρὸν ὁ λιμὸς περιῆλθεν αὐτῷ, καὶ ἠλέγχετο ὅτι ἦν ἄνθρωπος, καὶ ταῦτα εὐήθης, ἐξαναστὰς ἀπιὼν ᾤχετο, καὶ ἔλεγεν ὑβρίσθαι, ἐμμελῶς πάνυ τοῦ Φιλίππου τὴν ἄνοιαν αὐτοῦ ἐκκαλύψαντος.

## De Alexandro mortuo. (L. 12. c. 64.)

Ὁ μὲν Φιλίππου καὶ Ὀλυμπιάδος Ἀλέξανδρος, ἐν Βαβυλῶνι τὸν βίον καταστρέψας, νεκρὸς ἔκειτο, ὁ τοῦ Διὸς εἶναι λέγων. καὶ στασιαζόντων περὶ τῆς βασιλείας τῶν περὶ αὐτὸν, ταφῆς ἄμοιρος ἦν, ἧς μεταλαγχάνουσι καὶ οἱ σφόδρα πένητες, τῆς φύσεως τῆς κοινῆς ἀπαιτούσης τὸν μηκέτι ζῶντα κατακρύψαι· ἀλλ' οὗτός γε τριάκοντα ἡμέρας καταλελείπτο ἀκηδὴς, ἕως Ἀρίστανδρος ὁ Τελμισσεὺς, θεόληπτος γενόμενος, ἢ ἔκ τινος ἄλλης συντυχίας καταχεθεὶς, ἦλθεν εἰς μέσους τοὺς Μακεδόνας, καὶ πρὸς αὐτοὺς ἔφη, τὸν πάντων τῶν ἐξ αἰῶνος βασιλέων εὐδαιμονέστατον Ἀλέξανδρον γεγονέναι, καὶ ζῶντα, καὶ ἀποθανόντα. λέγειν ἄρα τοὺς θεοὺς πρὸς αὐτὸν, ὅτι ἄρα ἡ ὑποδεξαμένη γῆ τὸ σῶμα, ἐν ᾧ τὸ πρῶτον ᾤκησεν ἡ ἐκείνου ψυχὴ, πανευδαίμων τε ἔσται, καὶ ἀπόρθητος δι' αἰῶνος. ταῦτα μαθόντες πολλὴν εἰσεφέροντο φιλονεικίαν, ἕκαστος εἰς τὴν ἰδίαν αὐτοῦ βασιλείαν, τὸ ἀγώγιμον τοῦτο ἄγειν ἐπιθυμῶν, ἵνα κειμήλιον ἔχῃ, βασιλείας ἀσφαλοῦς καὶ ἀκλινοῦς ὅμηρον. Πτολεμαῖος δὲ, εἴ τι χρὴ πιστεύειν, τὸ σῶμα ἐξεκάλυψε, καὶ μετὰ σπουδῆς εἰς τὴν Ἀλεξάνδρου πόλιν τὴν κατ' Αἴγυπτον ἐκόμισε. καὶ οἱ μὲν ἄλλοι Μακεδόνες τὴν ἡσυχίαν ἦγον, Περδίκκας δὲ αὐτὸν διώκειν ἐπεχείρησεν.

σεν. ὐ τοσῦτον δὲ ἔμελε τύτῳ τῆς εἰς Ἀλέξανδρον πολυωρίας, καὶ τῆς εἰς τὸν νεκρὸν ὁσίας, ὅσον τὰ προλεχθέντα ὑπὸ τῦ Ἀριςάνδρυ ἀνέφλεγεν αὐτὸν, καὶ ἐξῆπτεν. ἐπεὶ δὲ κατέλαβε τὸν Πτολεμαῖον, ὑπὲρ τῦ νεκρῦ μάχη καρτερὰ πάνυ σφόδρα ἐγένετο, ἀδελφὴ τρόπον τινὰ τῆς ὑπὲρ τῦ εἰδώλυ 1) τῆς ἐν Τροίᾳ, ὅπερ Ὅμηρος ᾄδει, λέγων, ὑπὲρ Αἰνείυ τὸν Ἀπόλλωνα εἰς μέσυς ἐμβαλεῖν τὺς ἥρωας. ἀνέςειλε δὲ τὴν ὁρμὴν τῦ Περδίκκα ὁ Πτολεμαῖος. εἴδωλον γὰρ ποιησάμενος ὅμοιον Ἀλεξάνδρῳ, κατεκόσμησεν ἐσθῆτι βασιλικῇ, καὶ ἐνταφίοις ἀξιοζήλοις. εἶτα τῦτο ἀναπαύσας ἐπὶ μίαν τῶν Περσικῶν ἁμαξῶν, τὸ ἐπ' αὐτῆς κατεσκεύασε φέρετρον μεγαλοπρεπῶς ἀργύρῳ, καὶ χρυσῷ, καὶ ἐλέφαντι. καὶ τὸ μὲν ὄντως Ἀλεξάνδρυ σῶμα λιτῶς καὶ ὡς ἔτυχε πρῦπεμψε κρυπταῖς ὁδοῖς, καὶ ἀτρίπτοις. ὁ δὲ Περδίκκας καταλαβὼν τὸ τῦ νεκρῦ φάσμα, καὶ τὴν διασκευασθεῖσαν ἁρμάμαξαν, ἀνεςάλη τῦ δρόμυ, οἰόμενος ἔχειν τὸ ἆθλον. ὀψὲ δὲ ἔμαθεν ἀπατηθεὶς, ἡνίκα διώκειν ὐκ εἶχε.

## De Homeri carminibus et poësi. (L. 13. c. 14.)

Ὅτι τὰ Ὁμήρυ ἔπη 2) πρόπαλαι διῃρημένα ᾖδον οἱ παλαιοί. οἷον ἔλεγον, τὴν ἐπὶ ναυσὶ μάχην, καὶ Δολωνίαν τινὰ, καὶ ἀριςείαν Ἀγαμέμνονος, καὶ νεῶν κατάλογον, καί πυ Πατρόκλειαν, καὶ λύτρα, καὶ ἐπὶ Πατρόκλῳ ἆθλα, καὶ ὁρκίων ἀφάνισιν. ταῦτα ὑπὲρ τῆς Ἰλιάδος. Ὑπὲρ δὲ τῆς ἑτέρας, τὰ ἐν Πύλῳ, καὶ τὰ ἐν Λακεδαίμονι, καὶ Καλυψῦς ἄντρον, καὶ τὰ περὶ τὴν σχεδίαν, Ἀλκίνυ 3) ἀπόλογοι,



1) τῦ ἐν. 2) πρότερον δ. 3) ἀπολόγυς.

λογοι, Κυκλωπίαν, καὶ νεκυίαν, καὶ τὰ τῆς Κίρκης, Νίπτρα, μνηστήρων φόνοι, τὰ ἐν ἀγρῷ, τὰ ἐν Λαέρτῃ.

Ὀψὲ δὲ Λυκοῦργος ὁ Λακεδαιμόνιος ἀθρόαν πρῶτος εἰς τὴν Ἑλλάδα ἐκόμισε τὴν Ὁμήρου ποίησιν. τὸ δὲ ἀγώγιμον τοῦτο ἐξ Ἰωνίας, ἡνίκα ἀπεδήμησεν, ἤγαγεν. ὕστερον δὲ Πεισίστρατος συναγαγὼν, ἀπέφηνε τὴν Ἰλιάδα καὶ Ὀδύσσειαν.

## De ſpe. (L. 13. c. 29.)

Ἔλεγεν ὁ Πλάτων, τὰς ἐλπίδας, ἐγρηγορότων ἀνθρώπων ὀνείρους εἶναι.

## De Socratis ſermonibus.

## (L. 14. c. 15.)

Λόγος τις διεφοίτα, λέγων τοὺς Σωκράτους λόγους ἐοικέναι τοῖς Παύσωνος γράμμασι. καὶ γάρ τοι καὶ Παύσωνα τὸν ζωγράφον, ἀκούσαντα παρά τινος γράψαι ἵππον καλινδούμενον, τὸν δὲ γράψαι τρέχοντα. ἀγανακτοῦντος οὖν τοῦ τὸ πινάκιον ἐκδόντος, ὡς παρὰ τὰς ὁμολογίας γράψαντος, ἀποκρίνασθαι τὸν ζωγράφον, ὅτι στρέψον τὸ πινάκιον, καὶ ὁ καλινδούμενος ἔσω σοι ὁ τρέχων. καὶ τὸν Σωκράτην μὴ σαφῶς διαλέγεσθαι, εἰ γοῦν τις αὐτοὺς στρέψει, ὀρθότατα ἔχειν. οὐκ ἐβούλετο δὲ ἄρα ἀπεχθάνεσθαι τούτοις, πρὸς οὓς διελέγετο, καὶ διὰ τοῦτο αἰνιγματώδεις αὐτοὺς παρείχετο καὶ πλαγίους.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

Quod ridendi ſint, qui propter maiorum virtutes criſtas attollunt.

(L. 14. c. 36.)

Γελᾷν δὲ ἔξεστιν ἐπὶ τοῖς μέγα φρονοῦσι διὰ τοὺς πατέρας, καὶ τοὺς ἄνω τοῦ γένους, εἴγε Μαρίου μὲν τὸν πατέρα οὐκ ἴσμεν, αὐτὸν δὲ θαυμάζομεν διὰ τὰ ἔργα. καὶ Κάτωνα δὲ, καὶ 1) Σερβίλιον, καὶ Ὀστίλιον, καὶ Ῥωμύλον.

## II.

# EX AESOPO.

### Vulpes. (Fab. XI.)

Αλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκίου εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν, ἔφη· ὢ οἵα κεφαλὴ, καὶ ἐγκέφαλον οὐκ ἔχει.

Ὁ μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ δὲ ψυχὴν ἀλλοκότους.

### Gloriator. (Fab. XIV.)

Ἀνήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθὼν, ἄλλα τε πολλὰ ἐν διαφόροις ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ καὶ ἐν τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐπ᾽ αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. Πρὸς τοῦ-



1) Σέρβιον.

το δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. Τῶν δὲ παρόντων τις ὑπολαβὼν, ἔφη· ὦ οὗτος, εἰ ἀληθὲς τοῦτ᾽ ἔστιν, οὐδὲν δεῖ σοι μαρτύρων. Ἰδοὺ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ τοῦ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐστιν.

## Ranae. (Fab. XIX.)

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο· θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες, ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἅτερος, θατέρῳ φησί· συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ. Ὁ δὲ ὑπολαβὼν εἶπεν· ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἀπερισκέπτως προσιέναι τοῖς πράγμασιν.

## Rusticus et filii illius. (Fab. XXII.)

Γεωργός τις, μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς, ἔφη· παῖδες ἐμοὶ, ἐγὼ μὲν ἤδη τὸν βίον ὑπέξειμι, ὑμεῖς δ᾽, ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται, ζητήσαντες, εὑρήσετε πάντα. Οἱ μὲν οὖν οἰηθέντες, θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν, καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος,



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐςι τοῖς ἀνθρώποις.

## Auceps et anguis.
### (Fab. XXXII.)

Ἰξευτὴς ἰξὸν ἀναλαβὼν καὶ καλάμους, πρὸς ἄγραν ἐξῆλθεν. Ἰδὼν δὲ κίχλαν ἐφ᾽ ὑψηλοῦ δένδρου καθεζομένην, καὶ τοὺς καλάμους ἀλλήλοις ἐπὶ μῆκος συνάψας, ἄνω πρὸς αὐτὴν, συλλαβεῖν βουλόμενος, ἐφεώρα. Καὶ δὴ λαθὼν ἔχιν κοιμωμένην ὑπὸ πόδας ἐπάτησε. Τῆς δ᾽ ὀργισθείσης, καὶ δακούσης αὐτὸν, ἐκεῖνος ἤδη λειποψυχῶν ἔλεγε· δύςηνος ἐγὼ, ἕτερον γὰρ θηρεῦσαι βουλόμενος, αὐτὸς ὑφ᾽ ἑτέρου ἠγρεύθην εἰς θάνατον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πέλας ἐπιβουλεύοντες λανθάνουσι πολλάκις ὑφ᾽ ἑτέρων τοῦτ᾽ αὐτὸ πάχοντες.

## Leo et rana. (Fab. XXXVII.)

Λέων, ἀκούσας ποτὲ βατράχου μέγα βοῶντος, ἐπεςράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι. Προσμείνας δὲ μικρὸν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ πρὸ τῆς ὄψεως δι᾽ ἀκοῆς μόνης ταράττεσθαι.

## Leo et vrſus. (Fab. XXXIX.)

Λέων καὶ ἄρκτος, ὁμοῦ βουνεύρῳ περιτυχόντες, περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ᾽ ἀλλήλων διατεθέντες, ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιάσαι, ἀπαυδήσαντες ἔκειντο. Ἀλώπηξ δὲ κύκλῳ περιϊοῦσα, πεπτωκότας αὐτοὺς ἰδοῦσα, καὶ τὸ βούνευρον ἐν τῷ μέσῳ κείμενον, τοῦτο, διὰ μέσου ἀμφοῖν διαδραμοῦσα, καὶ ἁρπάσασα, φεύγουσα ᾤχετο. Οἱ δὲ βλέποντες μὲν αὐτὴν, μὴ δυνάμενοι δὲ ἀναστῆναι· δείλαιοι ἡμεῖς, εἶπον, ὅτι δι᾽ ἀλώπεκα ἐμοχθοῦμεν.

Ὁ μῦθος δηλοῖ, ὅτι ἄλλων κοπιώντων ἄλλοι κερδαίνουσιν.

## Diuinator. (Fab. XL.)

Μάντις, ἐπ᾽ ἀγορᾶς καθήμενος, διελέγετο. Ἐπιστάντος δέ τινος αἴφνης, καὶ ἀπαγγείλαντος, ὡς αἱ τῆς οἰκίας αὐτοῦ θυρίδες ἀναπεπταμέναι τε πᾶσαι εἶεν, καὶ πάντα τὰ ἔνδον ἀφῃρημένα, ἀνεπήδησέ τε στενάξας, καὶ δρομαῖος ᾔει. Τρέχοντα δέ τις αὐτὸν θεασάμενος, ὦ οὗτος, εἶπεν, ὁ τἀλλότρια πράγματα προειδέναι ἐπαγγελλόμενος, τὰ σαυτοῦ οὐ προεμαντεύου.

Ὁ μῦθος πρὸς τοὺς τὸν μὲν ἑαυτῶν βίον φαύλως διοικοῦντας, τῶν δὲ μηδὲν αὐτοῖς προσηκόντων προνοεῖσθαι πειρωμένους.

## Aper et vulpes. (Fab. LIV.)

Μονιὸς ἄγριος, ἐπί τινος ἑστὼς δένδρου, τοὺς ὀδόντας ἔθηγεν. Ἀλώπεκος δ᾽ ἐρομένης τὴν αἰτίαν, ὅτι μηδεμιᾶς προσκειμένης ἀνάγκης τί

τοὺς

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

τοὺς ὀδόντας θήγει, ἔφη· οὐκ ἀλόγως τοῦτο ποιῶ· εἰ γάρ με κίνδυνος περιςαίη, οὔκουν με τηνικαῦτα πρὸς τοὺς ὀδόντας ἀκονᾶν ἀσχολεῖσθαι δεήσει, ἀλλὰ μᾶλλον ἑτοίμοις οὖσι χρῆσθαι.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ πρὸς τὸν κίνδυνον παρασκευάζεσθαι.

## Avarus. (Fab. LIX.)

Φιλάργυρός τις, ἅπασαν αὐτοῦ τὴν οὐσίαν ἐξαργυρισάμενος, καὶ χρυσοῦν βῶλον ποιήσας, ἔν τινι τόπῳ κατώρυξε, συγκατορύξας ἐκεῖ καὶ τὴν ψυχὴν ἑαυτῦ καὶ τὸν νοῦν, καὶ καθ᾽ ἡμέραν ἐρχόμενος, αὐτὸν ἔβλεπε. Τῶν δὲ ἐργατῶν τις αὐτὸν παρατηρήσας, καὶ τὸ γεγονὸς συννοήσας, ἀνορύξας τὸν βῶλον ἀνείλετο. Μετὰ δὲ ταῦτα κἀκεῖνος ἐλθὼν, καὶ κενὸν τὸν τόπον ἰδὼν, θρηνεῖν ἤρξατο, καὶ τίλλειν τὰς τρίχας. Τοῦτον δέ τις ὀλοφυρόμενον οὕτως ἰδὼν, καὶ τὴν αἰτίαν πυθόμενος, μὴ οὕτως, εἶπεν, ὦ οὗτος, ἀθύμει· οὐδὲ γὰρ, ἔχων τὸν χρυσὸν, εἶχες. Λίθον οὖν ἀντὶ χρυσοῦ λαβὼν θὲς, καὶ νόμιζέ σοι τὸν χρυσὸν εἶναι. Τὴν αὐτὴν γάρ σοι πληρώσει χρείαν· ὡς ὁρῶ γὰρ, οὐδ᾽, ὅτε ὁ χρυσὸς ἦν, ἐν χρήσει ἦσθα τοῦ κτήματος.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις προσῆ.

## Testudo et aquila. (Fab. LXI.)

Χελώνη ἀετοῦ ἐδεῖτο, ἵπτασθαι ταύτην διδάξαι. Τῦ δὲ παραινοῦντος, πόῤῥω τοῦτο τῆς φύσεως

σεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν ταύτην τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀνενεγκὼν, εἶτ᾽ ἀφῆκεν· ἡ δὲ, κατὰ πετρῶν πεσοῦσα, συνετρίβη.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν φιλονεικίαις, τῶν φρονιμωτέρων παρακούσαντες, ἑαυτοὺς ἔβλαψαν.

## Hoedus et lupus. (Fab. XCIV.)

Ἔριφος, ὑστερήσασα τῆς ποίμνης, ὑπὸ λύκου κατεδιώκετο. Ἐπιστραφεῖσα δὲ πρὸς αὐτὸν, εἶπεν· ὦ λύκε, ἐπεὶ πέπεισμαι, ὅτι σὸν βρῶμα γενήσομαι, ἵνα μὴ ἀηδῶς ἀποθάνω, αὔλησον πρῶτον, ὅπως ὀρχήσωμαι. Τοῦ δὲ λύκου αὐλοῦντος, καὶ τῆς ἐρίφου ὀρχουμένης, οἱ κύνες, ἀκούσαντες, τὸν λύκον ἐδίωκον. Ὁ δὲ ἀποστραφεὶς τῇ ἐρίφῳ φησί· δικαίως ταῦτά μοι γίνεται· ἔδει γάρ με, μάγειρον ὄντα, αὐλητὴν μὴ μιμεῖσθαι.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῶν μὲν, πρὸς ἃ πεφύκασιν, ἀμελοῦντες, τὰ δὲ ἑτέρων ἐπιτηδεύειν πειρώμενοι, δυστυχίαις περιπίπτουσιν.

## Monedula et columbae. (Fab. CI.)

Κολοιὸς, ἔν τινι περιστερεῶνι περιστερὰς ἰδὼν καλῶς τρεφομένας, λευκάνας ἑαυτὸν, ἦλθεν, ὡς καὶ αὐτὸς τῆς αὐτῆς διαίτης μεταληψόμενος. Αἱ δὲ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι, περιστερὰν αὐτὸν εἶναι, προσίεντο. Ἐπεὶ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι φύσιν, ἐξήλασαν παίουσαι. Καὶ ὃς, ἀποτυχὼν τῆς ἐνταῦ-

θα

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

θαι τροφῆς, ἐπανῆκε πρὸς τοὺς κολοιοὺς πάλιν. Κἀκεῖνοι, διὰ τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες, τῆς μεθ᾽ αὐτῶν διαίτης ἀπεῖρξαν, ὥστε δυοῖν ἐπιθυμήσαντα μηδετέρας τυχεῖν.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς τοῖς ἑαυτῶν ἀρκεῖσθαι, λογιζομένους, ὅτι ἡ πλεονεξία, πρὸς τῷ μηδὲν ὠφελεῖν, ἀφαιρεῖται καὶ τὰ προσόντα πολλάκις.

## Lepores. (Fab. CVII.)

Λαγωοί ποτε, πολεμοῦντες ἀετοῖς, παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. Αἱ δ᾽ ἔφασαν· ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν, τίνες ἐστὲ, καὶ τίσι πολεμεῖτε.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κρείττοσι φιλονεικοῦντες, τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι.

## Gallina et hirundo. (Fab. CXVII.)

Ὄρνις, ὄφεως ὠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. Χελιδὼν δὲ, θεασαμένη αὐτὴν, ἔφη· ὦ ματαία, τί ταῦτα τρέφεις; ἅπερ αὐξηθέντα ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται.

Ὁ μῦθος δηλοῖ, ὅτι ἀτιθάσσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

## Vulpes et lignator. (Fab. CXXVII.)

Ἀλώπηξ κυνηγοὺς φεύγουσα, καὶ ἐν ἐρημίᾳ πολὺν δρόμον ἀνύουσα, ἄνδρα δρυοτόμον εὑρίσκει ἐν ταύτῃ, ὃν καθικέτευε τοῦ κρύψαι αὐτήν.

Τοῦ δὲ ὑποδείξαντος αὐτῇ τὴν ἑαυτοῦ καλύβην, εἰσελθοῦσα ἐκρύπτετο εἰς τὰς γωνίας. Τῶν δὲ κυνηγετῶν ἐλθόντων, καὶ ἐρωτώντων τὸν ἄνδρα, οὗτος τῇ μὲν φωνῇ ἠρνεῖτο μηδὲν εἰδέναι, τῇ δὲ χειρὶ αὐτοῦ τὸν τόπον ὑπεδείκνυ· οἱ δὲ μὴ προσχόντες ἀπῆλθον παραχρῆμα. Ὡς οὖν εἶδεν αὐτοὺς ἡ ἀλώπηξ παρελθόντας, ἐξῆλθεν οὐ προσφωνοῦσα· μεμφομένου δὲ αὐτὴν ἐκείνου, ὡς σωθεῖσαν μὲν δι' αὐτοῦ, χάριτας δὲ αὐτῷ οὐχ ὁμολογοῦσαν, ἡ ἀλώπηξ ἐπιστραφεῖσα ἔφη· ὦ οὗτος, ἀλλ' ἔγωγε ᾔδειν ἄν σοι χάριτας, εἰ τοῖς λόγοις ὅμοια καὶ τὰ ἔργα τῆς χειρὸς καὶ τοὺς τρόπους εἶχες.

Ὁ μῦθος πρὸς τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους τοῖς λόγοις, ἐναντία δὲ ποιοῦντας τοῖς ἔργοις.

## Cicada et formicae. (Fab. CXXXIV.)

Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων οἱ μύρμηκες ἔψυχον· τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· διατὶ τὸ θέρος οὐ συνῆγες τροφήν; ὁ δὲ εἶπεν· οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. Οἱ δὲ γελάσαντες εἶπον· ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

## Arundo et olea. (Fab. CXLIII.)

Διὰ καρτερίαν καὶ ἰσχὺν καὶ ἡσυχίαν κάλαμος καὶ ἐλαία ἤριζον. Τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας ὡς ἀδυνάτου καὶ ῥᾳδίως ὑποκλινομένου πᾶσι τοῖς ἀνέμοις, ὁ κάλαμος σιωπῶν οὐκ



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

οὐκ ἐφθέγξατο. Καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἄνεμος ἔπνευσεν ἰσχυρὸς, ὁ μὲν κάλαμος, ὑποσεισθεὶς καὶ ὑποκλινθεὶς τοῖς ἀνέμοις, ῥαδίως διεσώθη· ἡ δ' ἐλαία, ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, κατεκλάσθη τῇ βίᾳ.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῷ καιρῷ καὶ τοῖς κρείττοσιν αὐτῶν μὴ ἀνθιστάμενοι, κρείττους εἰσὶν τῶν πρὸς μείζονας φιλονεικούντων.

III.

# EX EPICTETI ENCHIRIDIO.

## Assiduitate opus esse ad negotia rite expedienda.

(Cap. 4.)

Τηλικούτων οὖν ἐφιέμενος, μέμνησο ὅτι οὐ δεῖ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν. ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δ' ὑπερτίθεσθαι πρὸς τὸ παρόν. ἐὰν δὲ καὶ ταῦτα θέλῃς, καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν οὐδ' αὐτῶν τούτων τεύξῃ, διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι. πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνων εὐδαιμονία καὶ ἐλευθερία περιγίνεται.

Ne rebus huius ſeculi animum a Deo vnquam auocari patiaris.
(Cap. 12.)

Καθάπερ ἐν πλῷ λιμένι τοῦ πλοίου καθορμισθέντος, ἂν ἐξέλθῃς ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργόν ἐστι, καὶ κοχλίδιον ἀναλέξασθαι, ἢ βολβάριον. τετάσθαι δὲ δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι, μήτοι γε ὁ κυβερνήτης καλέσῃ· καὶ τότε πάντα ἐκεῖνα ἀφιέναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς, ὡς τὰ πρόβατα· οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν διδῶται ἀντὶ βολβίου καὶ κοχλιδίου γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα πάντα, μηδὲν ἐπιστρεφόμενος. ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς τότε τοῦ πλοίου μακράν, μήποτε καλοῦντος ἐλλίπῃς.

Si iacturam rei cuiusdam facimus, non quod noſtrum eſt amittimus, ſed Deo ſuum reddimus. (Cap. 15.)

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι, Ἀπώλεσα αὐτὸ, ἀλλ', ὅτι, Ἀπέδωκα. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. τὸ χωρίον ἀφῃρέθη; οὐκοῦν καὶ τοῦτο ἀπεδόθη; ἀλλὰ κακὸς ὁ ἀφελόμενος. τί δέ σοι μέλει, διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε; μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, ὡς τοῦ πανδοχείου οἱ παριόντες.

Quam ſortem tibi dedit Deus, eam aequo feras animo. (Cap. 23.)

Μέμνησο, ὅτι ὑποκριτὴς εἶ δράματος, οἵου ἂν θέλῃ ὁ διδάσκαλος. ἂν βραχὺ, βραχέος. ἂν

μακρὸν,

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

μακρὸν, μακροῦ. Ἂν πτωχὸν ὑποκρίνεσθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ. ἂν χωλὸν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. σὸν γὰρ τοῦτ' ἐστι, τὸ δοθὲν ὑποκρίνεσθαι πρόσωπον καλῶς· ἐκλέξασθαι δ' αὐτὸ, ἄλλου.

## Mortis et infortunii cogitatio animo tuo ſemper obuerſetur.

(Cap. 28.)

Θάνατος, καὶ φυγὴ, καὶ πάντα τὰ δεινὰ φαινόμενα, πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν· μάλιστα δὲ πάντων ὁ θάνατος, καὶ οὐδὲν οὐδέποτε ταπεινὸν ἐνθυμηθήσῃ, οὔτε ἄγαν ἐπιθυμήσεις τινός.

## Ferenda ſunt, quorum iacturam declinare vel non potueris vel non volueris.

(Cap. 32.)

Προυτιμήθη σου τὶς ἐν ἑστιάσει, ἢ ἐν προσαγορεύσει, ἢ ἐν τῷ παραληφθῆναι εἰς συμβουλίαν; εἰ μὲν ἀγαθὰ ταῦτά ἐστι, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος· εἰ δὲ κακὰ, μὴ ἄχθου, ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες· μέμνησο δὲ, ὅτι οὐ δύνασαι, μὴ ταὐτὰ ποιῶν πρὸς τὸ τυγχάνειν τῶν οὐκ ἐφ' ἡμῖν, ἐκείνων τῶν ἴσων ἀξιοῦσθαι· πῶς γὰρ ἴσον ἔχειν δύναται, ὁ μὴ φοιτῶν ἐπὶ θύρας τινὸς τῷ φοιτῶντι; ὁ μὴ παραπέμπων, τῷ παραπέμποντι; ὁ μὴ ἐπαινῶν, τῷ ἐπαινοῦντι; ἄδικος οὖν ἔσῃ καὶ ἄπληστος, εἰ μὴ προϊέμενος ταῦτα ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ βουλήσῃ λαμβάνειν. ἀλλὰ πόσου πιπράσκονται θριδάκες; ὀβολοῦ, ἂν οὕτω τύχῃ. ἂν

οὖν τις προϊέμενος τὸν ὀβολὸν λάβῃ θριδάκας, σὺ δὲ μὴ ροιέμενος μὴ λάβῃς, μὴ οἴου ἔλαττον ἔχειν τοῦ λαβόντος. ὡς γὰρ ἐκεῖνος ἔχει θριδάκας, οὕτω ὑ τὸν ὀβολὸν, ὃν οὐκ ἔδωκας· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα. οὐ προσεκλήθης ἐφ' ἑστίασίν τινος, οὐ γὰρ ἔδωκας τῷ καλοῦντι πόσου πωλεῖται τὸ δεῖπνον. ἐπαίνου δ' αὐτὸ πωλεῖ. θεραπείας πωλεῖ. δὸς οὖν τὸ διαφέρον, εἴ σοι λυσιτελεῖ 1) ὅσου πωλεῖται. εἰ δὲ κἀκεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ καὶ ἀβέλτερος. οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν τὸ μὴ ἐπαινέσαι τοῦτον ὃν οὐκ ἤθελες· τὸ μὴ ἀνασχέσθαι αὐτοῦ ἐπὶ τῆς εἰσόδου.

## Nec incaute loquaris, nec nimium. (Cap. 41.)

Καὶ σιωπὴ τὸ πολὺ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι' ὀλίγων· σπανίως δέ ποτε, καιροῦ παρακαλοῦντος, ἐπὶ τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων. μὴ περὶ μονομάχων, μηδὲ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων ἢ πομάτων τῶν ἑκασταχοῦ λεγομένων· μάλιστα δὲ μὴ περὶ ἀνθρώπων, λέγοντες, ἢ ἐπαινοῦντες, ἢ συγκρίνοντες.

## De temperando risu. (Cap. 43.)

Γέλως μὴ πολὺς ἔστω· μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος.

Caute

1) τὸ πωλούμενον.

## Caute vtendum iureiurando. (Cap. 44.)

Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν· εἰ δὲ μὴ, ἐκ τῶν ἐνόντων.

## Vſum cuiuslibet rei eſſe ſpectandum, non luxum. (Cap. 46.)

Τὰ περὶ τὸ σῶμα μέχρι χρείας τῆς ψυχῆς παραλαμβάνειν, οἷον τροφὰς, πόμα, ἀμπεχόνην, οἰκίαν, οἰκετίαν. τὸ δὲ πρὸς δόξαν, ἢ τρυφὴν, ἅπαν περίγραφε.

## In recenſendis illis, quae ad te pertinent, ne ſis nimius. (Cap. 53.)

Ἐν ταῖς ὁμιλίαις ἀπέσω τὸ τινὰ τῶν ἑαυτȣ̃ ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι. ȣ̓ γὰρ, ὡς σοὶ ἡδύ ἐςι τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, ȣ̔́τω καὶ τοῖς ἄλλοις ἡδύ ἐςι τὸ τῶν σοι συμβεβηκότων ἀκȣ́ειν.

## Riſum ne facile moueas aliis. (Cap 54.)

Ἀπέςω δὲ καὶ τὸ γέλωτα κινεῖν. ὀλισθηρὸς γὰρ ὁ τόπος εἰς ἰδιωτισμὸν, καὶ ἅμα ἱκανὸς τὴν αἰδῶ τὴν πρός σε τῶν πλησίον ἀνιέναι.

## Ab obſcoenis verbis abſtinendum quam maxime. (Cap. 55.)

Ἐπισφαλὲς δὲ, καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν. ὅταν οὖν τι συμβῇ τοιȣ̃τον, ἂν μὲν εὔκαιρον ᾖ, ἐπίπληξον τῷ προελθόντι. εἰ δὲ μὴ, τῷ

γε ἀποσιωπῆσαι, καὶ ἐρυθριᾶσαι, καὶ σκυθρωπῆσαι, δῆλος γίνȣ δυχεραίνων τῷ λόγῳ.

## Voluptatum illecebras fuge, non ſequere. (Cap. 56.)

Ἐὰν ἡδονῆς τινος φαντασίαν λάβῃς, φύλασσε σαυτὸν, μὴ συναρπαθῇς ὑπ' αὐτῆς. ἀλλ' ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ ἀναβολήν τινα παρὰ σεαυτῷ λάβε. ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὃν τε ἀπολαύσεις τῆς ἡδονῆς καὶ καθ' ὃν ἀπολαύσας, ὕϛερον μετανοήσεις, καὶ αὐτὸς σεαυτῷ λοιδορήσῃ. καὶ τȣ́τοις ἀντίθες, ὅπως ἀποχόμενος χαιρήσεις, καὶ ἐπαινέσεις αὐτὸς σεαυτόν. ἐὰν δέ σοι καιρὸς φανῇ ἅψασθαι τȣ̃ ἔργȣ, πρόσεχε μὴ νικήσῃ σε τὸ προσηνὲς αὐτȣ̃, καὶ ἡδὺ, καὶ ἐπαγωγὸν, ἀλλ' ἀντιτίθει, πόσῳ ἄμεινον τὸ συνειδέναι σαυτῷ, ταύτην τὴν νίκην νενικηκότι.

## Recte ſi egeris, imperitorum nihili facias iudicium. (Cap. 57.)

Ὅταν τὶ, διαγνοὺς ὅτι ποιητέον ἐϛὶ, ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτὸ, κἂν ἀλλοῖόν τι οἱ πολλοὶ μέλλωσι περὶ αὐτȣ̃ ὑπολαμβάνειν. εἰ μὲν γὰρ ȣ̓κ ὀρθῶς ποιεῖς, αὐτὸ ἔργον φεῦγε. εἰ δὲ ὀρθῶς, τί φοβῇ τȣ̀ς ἐπιπλήξοντας ȣ̓κ ὀρθῶς;



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

Suo quisquis ſe metiatur pede et modulo.
(Cap. 59.)

Ἂν ὑπὲρ δύναμιν ἀναλάβῃς τὸ πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας, καὶ ὃ ἠδύνασο ἐκπληρῶσαι, παρέλιπες.

Bonam ſeruare mentem haud negligas.
(Cap. 60.)

Ἐν τῷ περιπατεῖν καθάπερ προσέχεις, μὴ ἐπιβῇς ἥλῳ, ἢ στρέψῃς τὸν πόδα· οὕτω πρόσεχε, μὴ τὸ ἡγεμονικὸν βλάψῃς, τὸ σεαυτοῦ. καὶ τοῦτ᾽ ἂν ἐφ᾽ ἑκάστου ἔργου παραφυλάσσωμεν, ἀσφαλέστερον ἀψόμεθα τοῦ ἔργου.

Quo debeamus eſſe animo in illos qui nos laedunt. (Cap. 65.)

Πᾶν πρᾶγμα δύο ἔχει λαβὰς, τὴν μὲν φορητὴν, τὴν δὲ ἀφόρητον. ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν αὐτῷ μὴ λαμβάνῃς, ὅτι ἀδικεῖ. αὕτη γὰρ λαβή ἐστιν αὐτοῦ οὐ φορητή· ἀλλὰ ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελφὸς, ὅτι σύντροφος. καὶ λήψῃ αὐτὸ, καθ᾽ ὃ φορητόν ἐστιν.

Quam vana ſit de fortunae donis gloria.
(Cap. 66.)

Οὗτοι οἱ λόγοι ἀσύνακτοι· Ἐγώ σου πλουσιώτερός εἰμι, ἐγώ σου ἄρα κρείσσων· ἐγώ σου λογιώτερος, ἐγώ σου ἄρα κρείσσων. ἐκεῖνοι δὲ μᾶλλον σύνακτοι· Ἐγώ σου πλουσιώτερός εἰμι, ἡ ἐμὴ ἄρα κτῆσις τῆς σῆς κρείσσων· ἐγώ σου λογιώτερος, ἡ

ἐμὴ ἄρα λέξις τῆς σῆς κρείσσων. σὺ δέ γε ὔτε κλῆσις εἶ, ὔτε λέξις.

## Factis potius quam verbis ſapientem te praeſta. (Cap. 68. 69.)

Μηδαμοῦ σαυτὸν εἴποις φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων. οἷον ἐν συμποσίῳ μὴ λέγε πῶς δεῖ ἐσθίειν, ἀλλὰ ἔσθιε ὡς δεῖ. μέμνησο γὰρ, ὅτι ὕτως ἀφῃρήκει πανταχόθεν καὶ Σωκράτης τὸν ἐπιδεικτικόν. ἤρχοντο πρὸς αὐτὸν, βυλόμενοι φιλοσόφοις ὑπ' αὐτῦ συςαθῆναι· κἀκεῖνος ἀπῆγεν αὐτύς. ὕτως ἠνείχετο παρορώμενος.

Ὥσε κἂν περὶ θεωρήματός τινος ἐν ἰδιώταις ἐμπίπτῃ λόγος, σιώπα τὸ πολύ. μέγας γὰρ ὁ κίνδυνος, εὐθὺς ἐξεμέσαι, ὃ ὐκ ἔπεψας. καὶ ὅταν εἴπῃ σοι τὶς, ὅτι ὐδὲν οἶδας, καὶ σὺ μὴ δηχθῇς, τότ' ἴσθι, ὅτι ἄρχῃ τῦ ἔργυ. ἐπεὶ καὶ τὰ πρόβατα ὐ χόρτον φέροντα τοῖς ποιμέσιν ἐπιδεικνύει πόσον ἔφαγεν. ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα, ἔριον ἔξω φέρει, καὶ γάλα. καὶ σὺ τοίνυν 1) μὴ ταχέως ῥήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ' αὐτῶν πεφθέντων τὰ ἔργα.

## Tui emendandi negotium ne in craſtinum differas. (Cap. 75.)

Εἰς ποῖον ἔτι χρόνον ἀναβάλλῃ τὸ τῶν βελτίςων ἀξιῦν σεαυτὸν, καὶ ἐν μηδενὶ παραβαίνειν τὸν διαιρῦντα λόγον; παρείληφας τὰ θεωρήματα, οἷς ἔδει

1) μὴ τὰ θεωρήματα.

ἔδει σε συμβάλλειν, καὶ συμβέβληκας; ποῖον ἔτι διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον ὑπερθῇς τὴν ἐπανόρθωσιν ποιῆσαι τὴν σεαυτοῦ, οὐκ ἔτι εἶ μειράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος. ἂν τοίνυν ἀμελήσῃς, καὶ ῥαθυμήσῃς, καὶ ἀεὶ ὑπερθέσεις ἐξ ὑπερθέσεων ποιῇς; προθέσεις ἐκ προθέσεων, καὶ ἡμέρας ἄλλας ἐπ᾽ ἄλλαις ὁρίζῃς, μεθ᾽ ἃς προσέξεις σεαυτῷ. λήσεις σεαυτὸν οὐ προκόψας, ἀλλ᾽ ἰδιώτης διατελέσεις καὶ ζῶν καὶ ἀποθνήσκων. ἤδη οὖν ἀξίωσον σεαυτὸν βιοῦν ὡς τέλειον, καὶ προκόπτοντα καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαράβατος, κἂν ἐπίπονόν τι, ἢ ἡδὺ, ἢ ἔνδοξον, ἢ ἄδοξον προσάγηται, μέμνησο ὅτι νῦν ὁ ἀγὼν, καὶ ἤδη πάρεστι τὰ ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι· καὶ ὅτι παρὰ μίαν ἧτταν καὶ ἔνδοσιν ἢ ἀπόλλυται προκοπὴ, ἢ σώζεται. Σωκράτης οὕτως ἀπετελέσθη, ἐπὶ πάντων προάγων ἑαυτὸν, μηδενὶ ἄλλῳ προσέχων ἢ τῷ λόγῳ. σὺ δὲ, εἰ καὶ μήπω εἶ Σωκράτης, ὡς Σωκράτης γε εἶναι βουλόμενος, ὀφείλεις βιοῦν.

# IV.

# CEBETIS TABULA.

Ἐτυγχάνομεν περιπατοῦντες ἐν τῷ τοῦ Κρόνου ἱερῷ, ἐν ᾧ πολλὰ μὲν καὶ ἄλλα ἀναθήματα ἐθεωροῦμεν, ἐνέκειτο δὲ καὶ πίναξ τις ἔμπροσθεν τοῦ νεὼ, ἐν ᾧ ἦν γραφή τις ξένη, καὶ μύθους ἔχουσα ἰδίους. οὓς οὐκ ἠδυνάμεθα συμβαλεῖν, τίνος καὶ πόθεν ἦσαν. οὔτε γὰρ πόλις ἐδόκει ἡμῖν εἶναι τὸ γεγραμμένον, οὔτε στρατόπεδον· ἀλλὰ περίβολος ἐν αὐτῷ ἔχων ἑτέρους περιβόλους δύο, τὸν μὲν μείζω, τὸν δὲ ἐλάττω. ἦν δὲ καὶ πύλη ἐπὶ τοῦ πρώτου περιβόλου· πρὸς δὲ τῇ πύλῃ ὄχλος ἐδόκει ἡμῖν πολὺς ἐφεστάναι. ἔνδον δὲ τοῦ περιβόλου, πλῆθός τι γυναικῶν ἑωρᾶτο· ἐπὶ δὲ τῆς εἰσόδου τοῦ πρώτου πυλῶνος καὶ περιβόλου γέρων τις ἑστὼς, ἔμφασιν ἐποίει, ὡς προστάττων τι τῷ εἰσιόντι ὄχλῳ. ἀπορούντων δὲ ἡμῶν περὶ τῆς μυθολογίας πρὸς ἀλλήλους πολὺν χρόνον, πρεσβύτης τὶς παρεστὼς, Οὐδὲν δεινὸν πάσχετε ὦ ξένοι, ἔφη, ἀποροῦντες περὶ τῆς γραφῆς ταύτης. οὐ γὰρ τῶν ἐπιχωρίων πολλοὶ ἴσασι. τί ποτε αὕτη ἡ μυθολογία δύναιτο. οὐδὲ γάρ ἐστι πολιτικὸν ἀνάθημα, ἀλλὰ ξένος τις πάλαι ποτὲ ἀφίκετο δεῦρο, ἀνὴρ ἔμφρων, καὶ δεινὸς περὶ σοφίαν, λόγῳ δὲ καὶ ἔργῳ Πυθαγόρειόν τινα καὶ Παρμενίδειον ἐζηλωκὼς βίον. ὃς τό, τε ἱερὸν τοῦτο, καὶ τὴν γραφὴν ἀνέθηκε τῷ Κρόνῳ. Πότερον οὖν ἔφην ἐγὼ, καὶ αὐτὸν τὸν ἄνδρα γιγνώσκεις ἑωρακώς; καὶ ἐθαύμασά γε, ἔφη, αὐτὸν πολὺν χρόνον, νεώτερος

γὰρ

γὰρ ὤν, πολλὰ καὶ σπουδαῖα διελέγετο. καὶ περὶ ταύτης δὲ τῆς μυθολογίας πολλάκις αὐτοῦ ἠκηκόειν διεξιόντος. Πρὸς Διὸς τοίνυν, ἔφην ἐγὼ, εἰ μή τίς σοι μεγάλη ἀσχολία τυγχάνει οὖσα διήγησαι ἡμῖν. Πάνυ γὰρ ἐπιθυμοῦμεν ἀκοῦσαι, τί ποτέ ἐστιν ὁ μῦθος. Οὐδεὶς φθόνος, ὦ ξένοι! ἔφη. ἀλλὰ τοῦτο δεῖ ὑμᾶς ἀκοῦσαι, ὅτι ἐπικίνδυνόν τι ἔχει ἡ ἐξήγησις. Οἷόν τι; ἔφην ἐγώ. Ὅτι, εἰ μὲν προσέξητε, ἔφη, καὶ συνήσητε τὰ λεγόμενα, φρόνιμοι καὶ εὐδαίμονες ἔσεσθε. εἰ δὲ μὴ, ἄφρονες, καὶ κακοδαίμονες, καὶ πικροὶ καὶ ἀμαθεῖς γενόμενοι, κακῶς βιώσεσθε. Ἔστι γὰρ ἡ ἐξήγησις ἐοικυῖα τῷ τῆς Σφιγγὸς αἰνίγματι, ὃ ἐκείνη προυβάλλετο τοῖς ἀνθρώποις. εἰ μὲν οὖν αὐτὸ συνίη τις, ἐσώζετο. εἰ δὲ μὴ συνίη, ἀπώλλυτο ὑπὸ τῆς Σφιγγός. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐξηγήσεως ταύτης. ἡ γὰρ Ἀφροσύνη τοῖς ἀνθρώποις Σφίγξ ἐστιν. αἰνίττεται δὲ καὶ τάδε, τί ἀγαθὸν, τί κακὸν, τί οὔτε ἀγαθὸν, οὔτε κακόν ἐστιν ἐν τῷ βίῳ· ταῦτ᾽ οὖν ἐὰν μή τις συνίη, ἀπόλλυται ὑπ᾽ αὐτῆς οὐκ εἰσάπαξ, ὥσπερ ὁ ὑπὸ τῆς Σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν· ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, καθάπερ οἱ ἐπὶ τιμωρίᾳ παραδιδόμενοι. ἂν δέ τις γνῷ, ἀνάπαλιν ἡ μὲν Ἀφροσύνη ἀπόλλυται, αὐτὸς δὲ σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ. Ὑμεῖς οὖν προσέχετε, καὶ μὴ παρακούετε. Ὦ Ἡράκλεις, ὡς εἰς μεγάλην τινὰ ἐπιθυμίαν ἐμβέβληκας ἡμᾶς, εἰ ταῦθ᾽ οὕτως ἔχει. Ἀλλ᾽ ἔστιν, ἔφη, οὕτως ἔχοντα. Οὐκ ἂν φθάνοις τοίνυν διηγούμενος, ὡς ἡμῶν προσεξόντων οὐ παρέργως, ἐπείπερ καὶ τὸ ἐπιτί-

ἐπιτίμιον τοιοῦτόν ἐστιν. Ἀναλαβὼν οὖν ῥάβδον τινὰ, καὶ ἐκτείνας πρὸς τὴν γραφὴν, Ὁρᾶτε, ἔφη, τὸν ἐπίβολον τοῦτον. Ὁρῶμεν. Τοῦτο πρῶτον δεῖ εἰδέναι ὑμᾶς ὅτι καλεῖται ὁ τόπος οὗτος, Βίος. καὶ ὁ ὄχλος ὁ πολὺς, ὁ παρὰ τὴν πύλην ἐφεστὼς, οἱ μέλλοντες εἰσπορεύεσθαι εἰς τὸν βίον, οὗτοι εἰσίν. ὁ δὲ γέρων, ὁ ἄνω ἑστηκὼς, ἔχων χάρτην τινὰ ἐν τῇ χειρὶ, καὶ τῇ ἑτέρᾳ ὥσπερ δεικνύων τι, οὗτος Δαίμων καλεῖται. προστάττει δὲ τοῖς εἰσπορευομένοις, τί δεῖ αὐτοὺς ποιεῖν, ὡς ἂν εἰσέλθωσιν εἰς τὸν βίον. καὶ δεικνύει ποίαν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν, εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ. ποίαν οὖν ὁδὸν κελεύει βαδίζειν, ἢ πῶς; ἔφην ἐγώ. Ὁρᾷς, εἶπε, παρὰ τὴν πύλην θρόνον τινὰ κείμενον κατὰ τὸν τόπον τοῦτον, καθ᾽ ὃν εἰσπορεύεται ὁ ὄχλος; ἐφ᾽ οὗ κάθηται γυνὴ πεπλασμένη τῷ εἴδει, καὶ πιθανὴ φαινομένη, καὶ ἐν τῇ χειρὶ ἔχουσα ποτήριόν τι; Ὁρῶ, ἀλλὰ τίς ἐστιν αὕτη, ἔφην. Ἀπάτη καλεῖται, φησιν, ἡ πάντας τοὺς ἀνθρώπους πλανῶσα. Εἶτα τί πράττει αὕτη; Τοὺς εἰσπορευομένους εἰς τὸν βίον ποτίζει τῇ ἑαυτῆς δυνάμει. Τοῦτο δὲ τί ἐστι τὸ ποτόν; Πλάνη, ἔφη, καὶ Ἄγνοια. Εἶτα τί; Πιόντες τοῦτο πορεύονται εἰς τὸν βίον. Πότερον οὖν πάντες πίνουσι τὸν πλάνον, ἢ οὔ; Πάντες πίνουσιν, ἔφη. ἀλλ᾽ οἱ μὲν πλεῖον, οἱ δὲ ἧττον. ἔτι δὲ οὐχ ὁρᾷς ἔνδον τῆς πύλης πλῆθός τι γυναικῶν ἑταιρῶν, παντοδαπὰς μορφὰς ἐχουσῶν; Ὁρῶ. Αὗται τοίνυν Δόξαι, καὶ Ἐπιθυμίαι, καὶ Ἡδοναὶ καλοῦνται. Ὅταν οὖν εἰσπορεύηται ὁ ὄχλος, ἀναπηδῶσιν αὗται, καὶ συμπλέκονται πρὸς ἕκαστον.

εἶτα

εἶτα ἀπάγουσι. Ποῖ δὲ ἀπάγουσιν αὐτούς; Αἱ μὲν εἰς τὸ σώζεσθαι, ἔφη, αἱ δὲ εἰς τὸ ἀπόλλυσθαι, διὰ τὴν ἀπάτην. Ὦ δαιμόνιε! ὡς χαλεπὸν τὸ πόμα λέγεις! Καὶ πᾶσαί γε, ἔφη, ἐπαγγέλλονται ὡς ἐπὶ τὰ βέλτιστα ἄξουσαι, καὶ εἰς βίον εὐδαίμονα καὶ λυσιτελῆ. οἱ δὲ διὰ τὴν ἄγνοιαν, καὶ τὸν πλάνον, ὃν πεπώκασι παρὰ τῆς Ἀπάτης, οὐχ εὑρίσκουσι ποία ἐστιν ἡ ἀληθινὴ ὁδὸς ἡ ἐν τῷ βίῳ· ἀλλὰ πλανῶνται εἰκῆ, ὥσπερ ὁρᾷς. Ὁρᾷς καὶ τοὺς πρότερον εἰσπορευομένους, ὡς περιάγονται, ὅπη ἂν αὗται δεικνύωσιν; Ὁρῶ τοῦτο, ἔφην. ἡ δὲ γυνὴ ἐκείνη τίς ἐστιν, ἣ ὥσπερ τυφλὴ καὶ μαινομένη τις εἶναι δοκοῦσα, καὶ ἑστηκυῖα ἐπὶ λίθου τινὸς στρογγύλου; Καλεῖται μὲν, ἔφη, Τύχη. ἔστι δὲ οὐ μόνον τυφλὴ, ἀλλὰ καὶ μαινομένη καὶ κωφή. Αὕτη οὖν τί ἔργον ἔχει; Περιπορεύεται πανταχοῦ, ἔφη· καὶ παρ' ὧν μὲν ἁρπάζει τὰ ὑπάρχοντα, καὶ ἑτέροις δίδωσι· παρὰ δὲ τῶν αὐτῶν πάλιν ἀφαιρεῖται παραχρῆμα ἃ δέδωκε, καὶ ἄλλοις δίδωσιν εἰκῆ καὶ ἀβεβαίως. διὸ καὶ τὸ σημεῖον καλῶς μηνύει τὴν φύσιν αὐτῆς. ποῖον τοῦτο; ἔφην ἐγώ. ὅτι ἐπὶ στρογγύλου λίθου ἕστηκεν. εἶτα τί τοῦτο σημαίνει; Ὅτι οὐκ ἀσφαλὴς, οὐδὲ βεβαία ἐστὶν ἡ παρ' αὐτῆς δόσις. ἐκπλώσεις γὰρ μεγάλαι καὶ σκληραὶ γίγνονται, ὅταν τις αὐτῇ πιστεύσῃ. Ὁ δὲ ὄχλος ὁ πολὺς οὗτος, ὁ περὶ αὐτὴν ἑστηκὼς, τί βούλεται καὶ τίνες καλοῦνται; Καλοῦνται καὶ οὗτοι Ἀπροβούλευτοι. αἰτοῦσι δὲ ἕκαστος αὐτῶν ἃ ῥίπτει. Πῶς οὖν οὐχ ὁμοίαν ἔχουσι τὴν μορφὴν, ἀλλ' οἱ μὲν αὐτῶν δοκοῦσι χαίρειν, οἱ δὲ ἀθυμοῦσιν, ἐκτετακότες τὰς χεῖρας; Οἱ μὲν δοκοῦν-

δοκοῦντες, ἔφη, χαίρειν καὶ γελᾷν αὐτῶν, οἱ εἰληφότες τι παρὰ τῆς Τύχης εἰσίν. οὗτοι δὲ καὶ Ἀγαθὴν Τύχην αὐτὴν καλοῦσιν. οἱ δὲ δοκοῦντες κλαίειν, καὶ τὰς χεῖρας ἐκτετακότες, εἰσὶ παρ᾽ ὧν ἀφείλετο ἃ δέδωκε πρότερον αὐτοῖς· οὗτοι πάλιν Κακὴν Τύχην αὐτὴν καλοῦσι. Τίνα οὖν ἐστιν ἃ δίδωσιν αὐτοῖς, ὅτι οὕτως οἱ μὲν λαμβάνοντες χαίρουσιν, οἱ δὲ ἀποβάλλοντες κλαίουσι; Ταῦτα, ἔφη, ἃ παρὰ τοῖς πολλοῖς ἀνθρώποις δοκεῖ εἶναι ἀγαθά. Ταῦτα οὖν τίνα ἐστί; Πλοῦτος δηλαδὴ, καὶ δόξα, καὶ εὐγένεια, καὶ τέκνα, καὶ τυραννίδες, καὶ βασιλεῖαι, καὶ τἄλλα ὅσα τούτοις παραπλήσια. Ταῦτα οὖν πῶς, οὐκ ἔστιν ἀγαθά; περὶ μὲν τούτων, ἔφη, καὶ αὖθις διαλεξόμεθα. νῦν δὲ περὶ τὴν μυθολογίαν γενώμεθα. Ἔστω οὕτως. Ὁρᾷς οὖν, ὡς ἂν παρέλθοις τὴν πύλην ταύτην, ἀνώτερον ἄλλον περίβολον, καὶ γυναῖκας ἔξω τοῦ περιβόλου ἑστηκυίας, κεκοσμημένας ὥσπερ ἑταῖραι εἰώθασι; Καὶ μάλα. Αὗται τοίνυν, ἡ μὲν Ἀκρασία καλεῖται, ἡ δὲ Ἀσωτία, ἡ δὲ Ἀπληστία, ἡ δὲ Κολακεία. τί οὖν ὧδε ἑστήκασιν αὗται; παρατηροῦσιν, ἔφη, τοὺς εἰληφότας τι παρὰ τῆς Τύχης. Εἶτα τί; Ἀναπηδῶσι, καὶ συμπλέκονται αὐτοῖς, καὶ κολακεύουσι, καὶ ἀξιοῦσι παρ᾽ αὐταῖς μένειν, λέγουσαι ὅτι βίον ἕξουσιν ἡδὺν, καὶ ἄπονον, καὶ κακοπάθειαν ἔχοντα οὐδεμίαν. Ἐὰν οὖν τις πεισθῇ ὑπ᾽ αὐτῶν εἰς τὴν ἡδυπάθειαν, μέχρι μέν τινος ἡδεῖα δοκεῖ εἶναι ἡ διατριβὴ, ἕως ἂν γαργαλίζῃ τὸν ἄνθρωπον· εἶτ᾽ οὐκ ἔστιν· ὅταν γὰρ ἀνανήψῃ, αἰσθάνεται, ὅτι οὐκ ἤσθιεν, ἀλλ᾽ ὑπ᾽ αὐτῆς



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

τῆς κατησθίετο, καὶ ὑβρίζετο. Διὸ καὶ ὅταν ἀναλώσῃ πάνθ' ὅσα ἔλαβε παρὰ τῆς Τύχης, ἀναγκάζεται ταύταις ταῖς γυναιξὶ δουλεύειν, καὶ πάνθ' ὑπομένειν, καὶ ἀσχημονεῖν, καὶ ποιεῖν ἕνεκεν τούτων ὅσα ἐστὶ βλαβερά. οἷον ἀποστερεῖν, ἱεροσυλεῖν, ἐπιορκεῖν, προδιδόναι, λῄζεσθαι, καὶ πάνθ' ὅσα τούτοις παραπλήσια. ὅταν οὖν πάντα αὐτοῖς ἀπολείπῃ, παραδίδονται τῇ Τιμωρίᾳ. Ποία δέ ἐστιν αὕτη; Ὁρᾷς ὀπίσω τι αὐτῶν, ἔφη, ὥσπερ θύριον μικρὸν, καὶ τόπον στενόν τινα, καὶ σκοτεινόν; Οὐκοῦν καὶ γυναῖκες αἰσχραὶ, καὶ ῥυπαραὶ, καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι; Καὶ μάλα. Αὗται τοίνυν, ἔφη, ἡ μὲν τὴν μάστιγα ἔχουσα, καλεῖται Τιμωρία. ἡ δὲ τὴν κεφαλὴν ἐν τοῖς γόνασιν ἔχουσα, Λύπη. ἡ δὲ τὰς τρίχας τίλλουσα ἑαυτῆς, Ὀδύνη. Ὁ δὲ ἄλλος οὗτος ὁ παρεστηκὼς αὐταῖς, δυσειδής τις καὶ λεπτὸς, καὶ γυμνὸς, καὶ μετὰ ταῦτά τις ὁμοία αὐτῷ, αἰσχρὰ, καὶ λεπτὴ, τίς ἐστιν; Ὁ μὲν Ὀδυρμὸς καλεῖται, ἔφη, ἡ δὲ ἀδελφὴ αὐτοῦ Ἀθυμία. τούτοις οὖν παραδίδοται καὶ μετὰ τούτων συμβιοῖ τιμωρούμενος. Εἶτα πάλιν ἐνταῦθα εἰς ἕτερον οἶκον ῥίπτεται, εἰς τὴν Κακοδαιμονίαν, καὶ ὧδε τὸν λοιπὸν βίον καταστρέφει ἐν πάσῃ κακοδαιμονίᾳ· ἂν μὴ Μετάνοια αὐτῷ ἀπὸ τῆς τύχης συναντήσῃ. Εἶτα τί γίγνεται; Ἐὰν ἡ Μετάνοια αὐτῷ συναντήσῃ, ἐξαίρει αὐτὸν ἐκ τῶν κακῶν, καὶ συνίστησιν αὐτῷ ἑτέραν Δόξαν καὶ Ἐπιθυμίαν, τὴν εἰς τὴν ἀληθινὴν Παιδείαν ἄγουσαν, ἅμα δὲ καὶ τὴν εἰς τὴν Ψευδοπαιδείαν καλουμένην. εἶτα τί γίγνεται; ἐὰν μὲν, φησὶ, τὴν δόξαν ταύ-

ταύτην προσδέξηται, τὴν ἄγουσαν αὐτὸν εἰς τὴν ἀληθινὴν Παιδείαν, καθαρθεὶς ὑπ᾽ αὐτῆς σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ· εἰ δὲ μὴ, πάλιν πλανᾶται ὑπὸ τῆς Ψευδοδοξίας. Ὦ Ἡράκλεις, ὡς μέγας ὁ κίνδυνος ἄλλος οὗτος! ἡ δὲ Ψευδοπαιδεία, ποία ἐστὶν; ἔφην ἐγώ. Οὐχ ὁρᾷς τὸν ἕτερον περίβολον ἐκεῖνον; Καὶ μάλα, ἔφην ἐγώ. Οὐκοῦν ἔξω τοῦ περιβόλου παρὰ τὴν εἴσοδον γυνή τις ἕστηκεν, ἣ δοκεῖ πάνυ καθαρὰ καὶ εὔτακτος εἶναι; Καὶ μάλα. Ταύτην τοίνυν οἱ πολλοὶ, καὶ εἰκαῖοι τῶν ἀνθρώπων, Παιδείαν καλοῦσιν. οὐκ ἔστι δὲ, ἀλλὰ Ψευδοπαιδεία, ἔφη. οἱ μέν τοι σωζόμενοι, ὁπόταν βούλωνται εἰς τὴν ἀληθινὴν παιδείαν ἐλθεῖν, ὧδε πρῶτον παραγίγνονται. Πότερον οὖν ἄλλη ὁδὸς οὐκ ἔστιν ἐπὶ τὴν ἀληθινὴν Παιδείαν ἄγουσα; Ἔστιν, ἔφη. Οὗτοι δὲ οἱ ἄνθρωποι οἱ ἔσω τοῦ περιβόλου ἀνακάμπτοντες, τίνες εἰσίν; Οἱ τῆς Ψευδοπαιδείας, ἔφη, ἐρασταὶ, ἠπατημένοι, οἰόμενοι κατὰ τῆς ἀληθινῆς παιδείας συνομιλεῖν. Τίνες οὖν καλοῦνται οὗτοι; Οἱ μὲν Ποιηταὶ, ἔφη, οἱ δὲ Ῥήτορες, οἱ δὲ Διαλεκτικοὶ, οἱ δὲ Μουσικοὶ, οἱ δὲ Ἀριθμητικοὶ, οἱ δὲ Γεωμέτραι, οἱ δὲ Ἀστρολόγοι, οἱ δὲ Ἡδονικοὶ, οἱ δὲ Περιπατητικοὶ, οἱ δὲ Κριτικοὶ, καὶ ὅσοι ἄλλοι τούτοις εἰσὶ παραπλήσιοι. Αἱ δὲ γυναῖκες ἐκεῖναι αἱ δοκοῦσαι περιτρέχειν ὅμοιαι ταῖς πρώταις, ἐν αἷς ἔφης εἶναι τὴν Ἀκρασίαν, καὶ αἱ ἄλλαι αἱ μετ᾽ αὐτῶν, τίνες εἰσίν; Αὗται ἐκεῖναί εἰσιν, ἔφη. πότερον οὖν καὶ ὧδε εἰσπορεύονται; Νὴ Δία καὶ ὧδε; σπανίως δὲ, καὶ οὐχὶ ὥσπερ



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

ἐν τῷ πρώτῳ περιβόλῳ. Πότερον οὖν καὶ αἱ Δόξαι; Ναὶ, ἔφη. ἔτι μὲν γὰρ καὶ ἐν τούτοις τὸ πόμα, ὃ ἔπιον παρὰ τῆς Ἀπάτης, καὶ ἡ Ἄγνοια μένει νὴ Δία, καὶ μετ' αὐτῆς γε ἡ Ἀφροσύνη. καὶ οὐ μὴ ἀπέλθῃ ἀπ' αὐτῶν οὔθ' ἡ Δόξα, οὔθ' ἡ λοιπὴ Κακία, μέχρις ἂν ἀπογνόντες τῆς Ψευδοπαιδείας, εἰσέλθωσιν εἰς τὴν ἀληθινὴν ὁδὸν, καὶ πίωσι τὴν τούτου καθαρτικὴν δύναμιν καὶ ἐκβάλωσι τὰ κακὰ πάνθ' ὅσα ἔχουσι, καὶ τὰς Δόξας, καὶ τὴν Ἄγνοιαν, καὶ τὴν λοιπὴν πᾶσαν Κακίαν. τότε ἂν οὕτω σωθήσονται. ὧδε δὲ μένοντες παρὰ τῇ Ψευδοπαιδείᾳ, οὐδέποτε ἀπολυθήσονται, οὐδὲ ἐλλείψει αὐτοὺς κακὸν οὐδὲν ἕνεκα τούτων τῶν μαθημάτων. ποία οὖν αὕτη ὁδός ἐστιν, ἡ φέρουσα ἐπὶ τὴν ἀληθινὴν παιδείαν; Ὁρᾷς, ἔφη, ἄνω τόπον τινὰ ἐκεῖνον, ὅπου οὐδεὶς ἐπικατοικεῖ, ἀλλ' ἔρημος δοκεῖ εἶναι; Ὁρῶ. Οὐκοῦν καὶ θύραν τινὰ μικρὰν, καὶ ὁδόν τινα πρὸς τῆς θύρας, ἥτις οὐ πολὺ ὀχλεῖται, ἀλλὰ πάνυ ὀλίγοι πορεύονται, ὥσπερ δυσανόδου τινὸς καὶ τραχείας καὶ πετρώδους εἶναι δοκούσης; Καὶ μάλα, ἔφην. Οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ, καὶ κρημνοὺς ἔχουσα ἔνθεν κἀκεῖθεν βαθεῖς; Ὁρῶ. Αὕτη τοίνυν ἐστὶν ἡ ὁδὸς, ἔφη, ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴν παιδείαν. Καὶ μάλα γε χαλεπὴ προσιδεῖν. Οὐκοῦν καὶ ἄνω γε περὶ τὸν βουνὸν ὁρᾷς πέτραν μεγάλην, καὶ ὑψηλὴν, κύκλῳ ἀπόκρημνον; Ὁρῶ, ἔφην. Ὁρᾷς οὖν καὶ γυναῖκας δύο ἑστηκυίας ἐπὶ τῆς πέτρας, λιπαρὰς, καὶ εὐεκτούσας τῷ σώματι, καὶ ὡς ἐκτετάκασι τὰς χεῖρας προθύμως; Ὁρῶ· ἀλλὰ τίνες καλοῦνται, ἔφην, αὗται; Ἡ μὲν Ἐγ-

κράτεια καλεῖται, ἔφη· ἡ δὲ Καρτερία. εἰσὶ δὲ ἀδελφαί. Τί οὖν τὰς χεῖρας ἐκτετάκασιν ὅτω προθύμως; Παρακαλοῦσιν, ἔφη, τοὺς παραγινομένους ἐπὶ τὸν τόπον, θαῤῥεῖν, καὶ μὴ ἀποδειλιᾷν, λέγουσαι, ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτοὺς, εἶτα ἥξουσιν εἰς ὁδὸν καλήν. Ὅταν οὖν παραγένωνται ἐπὶ τὴν πέτραν, πῶς ἀναβαίνουσιν; ὁρῶ γὰρ ὁδὸν φέρουσαν οὐδεμίαν ἐπ' αὐτήν. Αὗται ἀπὸ τοῦ κρημνοῦ προσκαταβαίνουσι, καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς ἑαυτάς. εἶτα κελεύουσιν αὐτοὺς διαναπαύσασθαι, καὶ μετὰ μικρὸν διδόασιν Ἰσχὺν καὶ Θάρσος, καὶ ἐπαγγέλλονται αὐτοὺς καταστῆσαι πρὸς τὴν ἀληθινὴν Παιδείαν, καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδὸν, ὡς ἔστι καλή τε καὶ ὁμαλὴ, καὶ εὐπόρευτος, καὶ καθαρὰ παντὸς κακοῦ, ὥσπερ ὁρᾷς· Ἐμφαίνει νὴ Δία. Ὁρᾷς οὖν, ἔφη, καὶ ἔμπροσθεν τοῦ ἄλσους ἐκείνου τόπον τινὰ, ὃς δοκεῖ καλός τε εἶναι, καὶ λειμωνοειδὴς, καὶ φωτὶ πολλῷ καταλαμπόμενος; Καὶ μάλα. Κατανοεῖς οὖν καὶ ἐν μέσῳ τοῦ λειμῶνος περίβολον ἕτερον, καὶ πύλην ἑτέραν; ἔστιν οὕτως. Ἀλλὰ τίς καλεῖται ὁ τόπος οὗτος; Εὐδαιμόνων οἰκητήριον, ἔφη. ὧδε γὰρ διατρίβουσιν αἱ Ἀρεταὶ πᾶσαι, καὶ ἡ Εὐδαιμονία. Εἶεν, ἔφην ἐγὼ, ὡς καλὸν τὸν τόπον εἶναι. Οὐκοῦν παρὰ τὴν πύλην ὁρᾷς, ἔφη, ὅτι γυνή τίς ἐστι καλὴ, καὶ καθεστηκυῖα τὸ πρόσωπον, μέση δὲ καὶ κεκριμένη ἤδη τῇ ἡλικίᾳ, στολὴν δ' ἔχουσα ἁπλῆν, καὶ οὐδένα καλλωπισμόν; ἕστηκε δὲ οὐκ ἐπὶ στρογγύλου λίθου, ἀλλ' ἐπὶ τετραγώνου, ἀσφαλῶς κειμένου. καὶ μετὰ ταύτης ἄλλαι δύο εἰσί. θυγατέρες τινὲς δοκοῦσιν εἶναι. Ἐμφαίνει οὕτως ἔχειν. Τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέσῳ, Παιδεία ἐστίν. ἡ δὲ, Ἀλήθεια. ἡ δὲ Πειθώ.

Τὶ

Τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὕτη; Σημεῖον, ἔφη, ὅτι ἀσφαλής τε καὶ βεβαία ἡ πρὸς αὐτὴν ὁδός ἐστι τοῖς ἀφικνουμένοις, καὶ τῶν διδομένων ἀσφαλὴς ἡ δόσις τοῖς λαμβάνουσι. Καὶ τίνα ἐστὶν, ἃ δίδωσιν αὕτη; Θάρσος, καὶ Ἀφοβία, ἔφη ἐκεῖνος. Ταῦτα δὲ τίνα ἐστίν; Ἐπιστήμη, ἔφη, τοῦ μηδὲν ἄν ποτε δεινὸν παθεῖν ἐν τῷ βίῳ. Ἡράκλεις ὡς καλὰ, ἔφην, τὰ δῶρα! Ἀλλὰ τίνος ἕνεκεν ἔξω τοῦ περιβόλου ἕστηκεν οὕτως; Ὅπως τοὺς παραγενομένους, ἔφη, θεραπεύῃ καὶ ποτίζῃ τὴν καθαρτικὴν δύναμιν· εἶθ᾽ ὅταν καθαρθῶσιν, οὕτως αὐτοὺς εἰσάγῃ πρὸς τὰς Ἀρετάς. Πῶς τοῦτο; ἔφην ἐγώ· οὐ γὰρ συνίημι. Ἀλλὰ συνήσεις, ἔφη. ὡς ἂν εἴ τις φιλοτίμως κάμνων ἐτύγχανε, πρὸς τὸν ἰατρὸν ἂν δήπου γινόμενος, πρότερον καθαρτικοῖς ἐξέβαλε πάντα τὰ νοσοποιοῦντα. εἶτα οὕτως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγίειαν καθέστηκεν. εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν, εὐλόγως ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς νόσου. Ταῦτα συνίημι, ἔφην ἐγώ. Τὸν αὐτὸν τοίνυν τρόπον, ἔφη, καὶ πρὸς τὴν παιδείαν ὅταν τις παραγίγνηται, θεραπεύει αὐτὸν, καὶ ποτίζει τῇ ἑαυτῆς δυνάμει, ὅπως ἐκκαθάρῃ πρῶτον, καὶ ἐκβάλῃ τὰ κακὰ πάντα, ὅσα ἔχων ἦλθε. Ποῖα ταῦτα; τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον, ὃν ἐπεπώκει παρὰ τῆς Ἀπάτης, καὶ τὴν Ἀλαζονείαν, καὶ τὴν Ἐπιθυμίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὸν Θυμὸν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὰ λοιπὰ πάντα, ὧν ἀνεπλήσθη ἐν τῷ πρώτῳ περιβόλῳ. Ὅταν οὖν καθαρθῇ, ποῦ αὐτὸν ἀποστέλλει; Ἔνδον, ἔφη, πρὸς τὴν Ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας Ἀρετάς. Ποίας ταύ-

ταύτας; οὐχ ὁρᾷς, ἔφη, ἔσω τῆς πύλης χορὸν γυναικῶν, ὡς εὐειδεῖς δοκοῦσιν εἶναι, καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον καὶ ἁπλῆν ἔχουσιν; ἔτι τε ὡς ἄπλαστοί εἰσι, καὶ οὐδαμῶς κεκαλλωπισμέναι ὥσπερ αἱ ἄλλαι; ὁρῶ, ἔφην, ἀλλὰ τίνες αὗται καλοῦνται; Ἡ μὲν πρώτη Ἐπιστήμη, ἔφη, καλεῖται. αἱ δὲ ἄλλαι ταύτης ἀδελφαί, Ἀνδρεία, καὶ Δικαιοσύνη, Καλοκαγαθία, Σωφροσύνη, Εὐταξία, Ἐλευθερία, Ἐγκράτεια, Πραότης. Ὦ κάλλισται! ἔφην ἔγωγε, ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν! Ἐὰν συνῆτε, ἔφη. καὶ ἕξιν περιποιήσεσθ' ὧν ἀκούετε. Ἀλλὰ προσέξομεν ὡς μάλιστα, ἔφην ἔγωγε. Τοιγαροῦν, ἔφη, σωθήσεσθε. ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗται, ποῦ ἀπάγουσι; πρὸς τὴν μητέρα, ἔφη. Αὕτη δὲ τίς ἐστιν; Εὐδαιμονία, ἔφη, ποία δέ ἐστιν αὕτη; ὁρᾷς τὴν ὁδὸν ἐκείνην, τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων πάντων; ὁρῶ. Οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ καθεστηκυῖα εὐειδής τις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ, κεκοσμημένη ἐλευθέρως, καὶ ἀπεριέργως, καὶ ἐστεφανωμένη στεφάνῳ εὐανθεῖ πάνυ καλῶς; Ἐμφαίνει οὕτως ἔχειν. Αὕτη τοίνυν ἐστὶν ἡ Εὐδαιμονία, ἔφη. ὅταν οὖν ὧδέ τις παραγένηται, τί ποιεῖ; στεφανοῖ αὐτὸν, ἔφη, τῇ ἑαυτῆς δυνάμει ἡ Εὐδαιμονία, καὶ αἱ ἄλλαι πᾶσαι Ἀρεταί, ὥσπερ τοὺς νενικηκότας τοὺς μεγίστους ἀγῶνας. Καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτός; ἔφην ἐγώ. Τοὺς μεγίστους, ἔφη, καὶ τὰ μέγιστα θηρία, ἃ πρότερον αὐτὸν κατήσθιε, καὶ ἐκόλαζε, καὶ ἐποίει δοῦλον, ταῦτα πάντα νενίκηκε, καὶ ἀπέῤῥιψεν ἀφ' ἑαυτοῦ, καὶ κεκράτηκεν ἑαυτοῦ· ὥστε ἐκεῖνα νῦν τούτῳ δουλεύουσι,

καθάπερ οὗτος ἐκείνοις πρότερον. ποῖα λέγεις ταῦτα τὰ θηρία; πάνυ γὰρ ἐπιθυμῶ ἀκοῦσαι. Πρῶτον μὲν, ἔφη, τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον. Ἦ οὐ δοκεῖ σοι θηρία ταῦτα εἶναι; Καὶ πονηρά γε, ἔφην ἐγώ. Εἶτα τὴν Λύπην, καὶ τὸν Ὀδυρμὸν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὴν λοιπὴν ἅπασαν κακίαν. πάντων τούτων κρατεῖ, καὶ οὐ κρατεῖται, ὥσπερ τὸ πρότερον. Ὦ καλῶν ἔργων! ἔφην ἐγὼ, καὶ καλλίστης νίκης! ἀλλ' ἐκεῖνο ἔτι μοι εἰπὲ, τίς ἡ δύναμις τοῦ στεφάνου, ᾧ ἔφης στεφανοῦσθαι αὐτόν; εὐδαιμονικὴ, ὦ νεανίσκε! ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει εὐδαίμων γίνεται, καὶ μακάριος, καὶ οὐκ ἔχει ἐν ἑτέροις τὰς ἐλπίδας τῆς εὐδαιμονίας, ἀλλ' ἐν ἑαυτῷ. Ὡς καλὸν τὸ νίκημα λέγεις! ὅταν δὲ στεφανωθῇ, τί ποιεῖ, ἢ ποῖ βαδίζει; Ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ ἀρεταὶ πρὸς τὸν τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρότερον, καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι, καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ, καὶ πλανῶνται, καὶ ἄγονται κατακεκρατημένοι, ὥσπερ ὑπὸ πολεμίων. οἱ μὲν ὑπ' Ἀκρασίας, οἱ δὲ ὑπ' Ἀλαζονείας, οἱ δὲ ὑπὸ Φιλαργυρίας, ἕτεροι δὲ ὑπὸ Κενοδοξίας, οἱ δὲ ὑφ' ἑτέρων κακῶν. ἐξ ὧν οὐ δύνανται ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται, ὥστε σωθῆναι, καὶ ἀφικέσθαι ὧδε· ἀλλὰ ταράττονται διὰ παντὸς τοῦ βίου. τοῦτο δὲ πάσχουσι διὰ τὸ μὴ δύνασθαι τὴν ἐνθάδε ὁδὸν εὑρεῖν. ἐπελάθοντο γὰρ τὸ παρὰ τοῦ δαιμονίου πρόσταγμα. Ὀρθῶς μοι δοκεῖς λέγειν. ἀλλὰ καὶ τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν τόπον ἐκεῖνον αἱ Ἀρεταὶ, ὅθεν

ἥκει τὸ πρότερον. Οὐκ ἀκριβῶς ᾔδει, οὐδὲ ἠπίστατο, ἔφη, οὐδὲν τῶν ἐκεῖ, ἀλλ' ἐνεδοίαζε καὶ διὰ τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον, ὃν δὴ ἐπεπώκει· τὰ μὴ ὄντα ἀγαθὰ ἐνόμιζεν ἀγαθὰ εἶναι, καὶ τὰ μὴ ὄντα κακὰ, κακά. διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι οἱ ἐκεῖ διατρίβοντες, νῦν δὲ ἀπειληφὼς τὴν ἐπιστήμην τῶν συμφερόντων, αὐτός τε καλῶς ζῇ, καὶ τούτους θεωρεῖ ὡς κακῶς πράσσουσιν. Ἐπειδὰν οὖν θεωρήσῃ πάντα, τί ποιεῖ, ἢ ποῖ βαδίζει; Ὅπου ἂν βούληται, ἔφη· πανταχοῦ γάρ ἐστιν αὐτῷ ἀσφάλεια. ὥσπερ τὸ κωρύκιον ἄντρον ἔχοντι. καὶ πανταχοῦ οὗ ἂν ἀφίκηται, πάντα καλῶς βιώσεται μετὰ πάσης ἀσφαλείας· ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως πάντες, καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες. Πότερον οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης θηρία εἶναι, οὐκ ἔτι φοβεῖται, μή τι πάθῃ ὑπ' αὐτῶν; Οὐδέν. οὐ μὴ διοχληθήσεται, οὔτε ὑπὸ Ὀδύνης, οὔτε ὑπὸ Λύπης; οὔτε ὑπ' Ἀκρασίας, οὔτε ὑπὸ Φιλαργυρίας, οὔτε ὑπὸ Πενίας, οὔτε ὑπ' ἄλλου κακοῦ οὐδενός. Ἁπάντων γάρ κυριεύει, καὶ ἐπάνω πάντων ἐστὶ τῶν πρότερον αὐτὸν λυπούντων, καθάπερ οἱ ἐχιόδηκτοι. τὰ γὰρ θηρία δήπου πάντας τοὺς ἄλλους κακοποιοῦντα μέχρι θανάτου, ἐκείνους οὐ λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτοὺς τοῦτο. καὶ τοῦτον οὐδὲν λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον. Καλῶς ἐμοὶ δοκεῖς λέγειν. ἀλλ' ἔτι τοῦτό μοι εἰπὲ, τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες ἐκεῖθεν ἀπὸ τοῦ βουνοῦ παραγίγνεσθαι; καὶ οἱ μὲν αὐτῶν ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινός· οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν ἀπεγνωσμένοι, καὶ τὰς κνήμας καὶ τὰς κεφαλὰς δοκοῦσι τετρῖφθαι· κατέχονται δὲ ὑπὸ

γυναικῶν τινων. Οἱ μὲν ἐστεφανωμένοι, σεσωσμένοι εἰσὶ πρὸς τὴν Παιδείαν, καὶ εὐφραίνονται, τετυχηκότες αὐτῆς. οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν ἀπεγνωσμένοι ὑπὸ τῆς Παιδείας, ἀνακάμπτουσι, κακῶς καὶ ἀθλίως διακείμενοι. οἱ δὲ ἀποδεδειλιακότες, καὶ ἀναβεβηκότες πρὸς τὴν Καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ. Αἱ δὲ γυναῖκες αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι, τίνες εἰσὶν αὗται; Λῦπαι, ἔφη, καὶ Ὀδύναι, καὶ Ἀθυμίαι, καὶ Ἀδοξίαι, καὶ Ἄγνοιαι. Πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν. Νὴ Δία πάντα, ἔφη, ἀκολουθοῦσιν. ὅταν δὲ οὗτοι παραμένωνται εἰς τὸν πρῶτον περίβολον πρὸς τὴν Ἡδυπάθειαν, καὶ τὴν Ἀκρασίαν, οὐχὶ αὑτοὺς αἰτιῶνται, ἀλλ' εὐθὺς κακῶς λέγουσι καὶ τὴν Παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί εἰσι, καὶ κακοδαίμονες, οἱ τὸν βίον τὸν παρ' αὐτοῖς ἀπολιπόντες κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ' αὐτοῖς ἀγαθῶν. Ποῖα δὲ λέγουσιν ἀγαθὰ εἶναι; τὴν Ἀσωτίαν, καὶ τὴν Ἀκρασίαν, ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου. τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπον, ἀπόλαυσιν μεγίστων ἀγαθῶν ἡγοῦνται εἶναι. Αἱ δὲ ἕτεραι γυναῖκες αἱ ἐκεῖθεν παραγινόμεναι, ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται; Δόξαι, ἔφη· Καὶ ἀγαγοῦσαι πρὸς τὴν Παιδείαν τοὺς εἰσελθόντας πρὸς τὰς Ἀρετὰς, ἀνακάμπτουσιν ὅπως ἑτέρους ἀγάγωσι, καὶ ἀναγγείλωσιν, ὅτι εὐδαίμονες ἤδη γεγόνασιν, οὓς τότε ἀπήγαγον. Πότερον οὖν, ἔφην ἐγὼ, αὗται εἴσω πρὸς τὰς Ἀρετὰς εἰσπορεύονται; ἔφη, Οὐ. οὐ γὰρ θέμις Δόξαν εἰσπορεύεσθαι πρὸς τὴν Ἐπιστήμην. ἀλλὰ τῇ παι-



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

δεία παραδιδόασιν αὐτούς. εἶτα, ὅταν ἡ παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὗται πάλιν ἄλλους ἄξουσαι. ὥσπερ αἱ νῆες τὰ φορτία ἐξελόμεναι, πάλιν ἀνακάμπτουσιν, καὶ ἄλλων τινῶν γεμίζονται. Ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς, ἔφην, ἐξηγῆσθαι. ἀλλ᾽ ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας, τί προστάττει τὸ Δαιμόνιον τοῖς εἰσπορευομένοις εἰς τὸν βίον ποιεῖν; Θαῤῥεῖν, ἔφη. διὸ καὶ ὑμεῖς θαῤῥεῖτε. πάντα γὰρ ἐξηγήσομαι καὶ οὐδὲν παραλείψω. Καλῶς λέγεις, ἔφην ἐγώ. Ἐκτείνας οὖν τὴν χεῖρα πάλιν, Ὁρᾶτε, ἔφη, τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον, ὅτι Τύχη καλεῖται; Ὁρῶμεν. ταύτη κελεύει, ἔφη, μὴ πιστεύειν, καὶ βέβαιον μηδὲν πιστεύειν, μηδὲ ἀσφαλὲς ἔχειν, ὅ, τι ἂν παρ᾽ αὐτῆς λάβῃ τις, μηδὲ ὡς ἴδια ἡγεῖσθαι. οὐδὲν γὰρ κωλύει ταῦτα πάλιν ἀφελέσθαι, καὶ ἑτέρῳ διδόναι, πολλάκις γὰρ τοῦτο εἴωθε ποιεῖν. καὶ διὰ ταύτην οὖν τὴν αἰτίαν κελεύει πρὸς τὰς ἑαυτῆς δόσεις οὐχ ἥττους γίγνεσθαι, καὶ μήτε χαίρειν ὅταν διδῷ, μήτε ἀθυμεῖν ὅταν ἀφέληται, καὶ μήτε ψέγειν αὐτὴν, μήτε ἐπαινεῖν, οὐδὲν γὰρ ποιεῖ κατὰ λογισμοῦ, ἀλλ᾽ εἰκῇ, καὶ ὡς ἔτυχε, πάντα, ὥσπερ πρότερον ὑμῖν ἔλεξα. διὰ τοῦτο οὖν τὸ Δαιμόνιον κελεύει, μὴ θαυμάζειν, ὅτι ἂν πράττῃ αὕτη, μηδὲ γίγνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζίταις. καὶ γὰρ ἐκεῖνοι, ὅταν μὲν λάβωσι τὸ ἀργύριον παρὰ τῶν ἀνθρώπων, χαίρουσι, καὶ ἴδιον νομίζουσιν εἶναι. ὅταν δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι, καὶ δεινὰ οἴονται πεπονθέναι, οὐ μνημονεύοντες, ὅτι ἐπὶ τούτῳ ἔλαβον τὰ θέματα, ἐφ᾽ ᾧ οὐδὲν κωλύειν

τὸν

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

τὸν θέμενον πάλιν κομίσαϑαι. ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ Δαιμόνιον, καὶ πρὸς τὴν παρ' αὐτῆς δόσιν. καὶ μνημονεύειν, ὅτι τοιαύτην ἔχει φύσιν ἡ Τύχη, ὥς τε, ἃ δέδωκεν, ἀφελέϑαι, καὶ ταχέως πάλιν δοῦναι πολλαπλάσια. αὖϑις δὲ ἀφελέϑαι ἃ δέδωκεν. ὀ μόνον δὲ, ἀλλὰ καὶ τὰ πρῦπάρχοντα, ἃ γῦν διδῷ, κελεύει λαμβάνειν παρ' αὐτῆς, καὶ συντόμως ἀπελθεῖν ἔχοντα πρὸς τὴν βεβαίαν καὶ ἀσφαλῆ δόσιν. Ποίαν ταύτην; ἔφην ἐγώ· ἣν λήψονται παρὰ τῆς παιδείας, ἣν διασωϑῶσιν ἐκεῖ. Αὕτη οὖν τίς ἐςιν; ἡ ἀληϑὴς Ἐπιςήμη, ἔφη, τῶν συμφερόντων. καὶ ἀσφαλὴς δόσις, καὶ βεβαία, καὶ ἀμετάβλητος. φεύγειν οὖν κελεύει συντόμως πρὸς ταύτην. καὶ ὅταν ἔλθωσι πρὸς τὰς γυναῖκας ἐκείνας, ἃς καὶ πρότερον εἶπον· ὅτι Ἀκρασία καὶ Ἡδυπάθεια καλοῦνται, καὶ ἐντεῦϑεν κελεύει συντόμως ἀπαλλάττεϑαι, καὶ μὴ πιςεύειν μηδὲ ταύταις μηδὲν, ἕως ἂν πρὸς τὴν Ψευδοπαιδείαν ἀφίκωνται. κελεύει οὖν αὐτοῖς χρόνον τινὰ ἐνδιατρίψαι, καὶ λαβεῖν ὅ, τι ἂν βέλωνται παρ' αὐτῆς, ὥσπερ ἐφόδιον. εἶτα ἐντεῦϑεν ἀπιέναι πρὸς τὴν ἀληϑινὴν Παιδείαν συντόμως. Ταῦτ' ἐςιν, ἃ προστάσσει τὸ Δαιμόνιον. Ὅςις τοίνυν παρ' αὐτά τι ποιεῖ ἢ παρακύει, ἀπόλλυται κακὸς κακῶς. Ὁ μὲν δὴ μῦϑος, ὦ ξένοι, ὁ ἐν τῷ πίνακι, τοιῦτος ἡμῖν ἐςω. εἰ δὲ δεῖ τι προσπυϑέϑαι περὶ ἑκάςυ τύτων, οὐδεὶς φϑόνος· ἐγὼ γὰρ ὑμῖν φράσω. Καλῶς λέγεις, ἔφην ἐγώ. ἀλλὰ τί κελεύει αὐτὺς τὸ Δαιμόνιον λαβεῖν παρὰ τῆς Ψευδοπαιδείας; ταῦϑ' ἃ δοκεῖ εὔχρηςα εἶναι· Ταῦτ' οὖν τίνα ἐςί; Γράμματα,

τα, ἔφη, καὶ τὰ τῶν ἄλλων μαθημάτων, ἃ καὶ Πλάτων φησὶν ὡσανεὶ χαλινοῦ τινος δύναμιν ἔχειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται. Πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν, εἰ μέλλοι τις ἥξειν πρὸς τὴν ἀληθινὴν Παιδείαν, ἢ οὔ; Ἀνάγκη μὲν οὐδεμία, ἔφη, χρήσιμα μέντοι ἐστί· πρὸς δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλεται ταῦτα. Οὐδὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶναι πρὸς τὸ βελτίους γενέσθαι ἄνδρας; ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι. ὅμως δὲ οὐκ ἄχρηστα κἀκεῖνά ἐστιν. ὡς γὰρ δι' ἑρμηνέως συμβάλλομεν τὰ λεγόμενά ποτε, ὅμως μέντοι γε οὐκ ἄχρηστον ἦν, καὶ ἡμᾶς αὐτοὺς τὴν φωνὴν ἀκριβεστέραν ἔχειν, ἄν τι συνήκαμεν· οὕτω ἄνευ τούτων τῶν μαθημάτων οὐδὲ κωλύει γενέσθαι. Πότερον οὐδὲν προέχουσιν οὗτοι οἱ μαθηματικοὶ πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων; Πῶς μέλλουσι προέχειν; ἐπειδὰν φαίνωνται ἠπατημένοι περὶ ἀγαθῶν καὶ κακῶν, ὥσπερ οἱ ἄλλοι, καὶ ἔτι κατεχόμενοι ὑπὸ πάσης κακίας; Οὐδὲν γὰρ κωλύει εἰδέναι μὲν γράμματα, καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ εἶναι, καὶ φιλάργυρον, καὶ ἄδικον, καὶ προδότην, καὶ τὸ πέρας ἄφρονα. Ἀμέλει πολλοὺς τοιούτους ἐστὶν ἰδεῖν. Πῶς οὖν οὗτοι προέχουσιν, ἔφη, εἰς τὸ βελτίους ἄνδρας γενέσθαι, ἕνεκα τούτων τῶν μαθημάτων; Οὐδαμῶς φαίνεται ἐκ τούτου τοῦ λόγου. Ἀλλὰ τί ἐστιν, ἔφην ἐγώ, τὸ αἴτιον; Ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ διατρίβουσιν, ὥσπερ ἐγγίζοντες πρὸς τὴν ἀληθινὴν Παιδείαν. Καὶ τί τοῦτο ὠφελεῖ αὐτούς, ἔφην, ὅταν πολλάκις ἐστὶν ἰδεῖν παραγιγνομένους ἐκ τοῦ πρώτου περιβόλου ἀπὸ

τῆς

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

τῆς Ἀκρασίας, καὶ τῆς ἄλλης κακίας, εἰς τὸν τρίτον περίβολον, πρὸς τὴν Παιδείαν τὴν ἀληθινὴν, οἱ τούτους τοὺς μαθηματικοὺς παραλλάττουσιν. ὥστε, πῶς ἔτι προέχουσιν; ἆρα ἢ ἀκινητότεροι, ἢ δυσμαθέστεροί εἰσι. Πῶς, ἔφην, τοῦτο ἐγώ. Ὅτι οἱ ἐν τῷ δευτέρῳ περιβόλῳ εἰ μηδὲν ἄλλο, προσποιοῦνταί γε ἐπίστασθαι, ἃ οὐκ οἴδασιν. ἕως δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν, ἀκινήτους αὐτοὺς ἀνάγκη εἶναι πρὸς τὸ ὁρμᾶν πρὸς τὴν ἀληθινὴν Παιδείαν. εἶτα τὸ ἕτερον οὐχ ὁρᾷς, ὅτι καὶ αἱ Δόξαι ἐκ τοῦ πρώτου περιβόλου εἰσπορεύονται πρὸς αὐτοὺς ὁμοίως. ὥστε οὐδὲν οὗτοι ἐκείνων βελτίους εἰσὶν, ἐὰν μὴ καὶ τούτοις συνῇ Μεταμέλεια, καὶ πεισθῶσιν, ὅτι οὐ Παιδείαν ἔχουσιν, ἀλλὰ Ψευδοπαιδείαν, δι' ἣν ἀπατῶνται. οὕτω δὲ διακείμενοι, οὐκ ἄν ποτε σωθεῖεν. Καὶ ὑμεῖς τοίνυν, ὦ ξένοι, ἔφη, ἂν μὴ οὕτω ποιῆτε, καὶ ἐνδιατρίβητε τοῖς λεγομένοις, μέχρις ἂν ἕξιν λαβεῖν· ἀλλὰ περὶ τῶν αὐτῶν πολλάκις δεῖ ἐπισκοπεῖν, καὶ μὴ διαλείπειν. τὰ δὲ ἄλλα πάρεργα ἡγήσασθαι. εἰ δὲ μὴ, οὐδὲν ὄφελος ἔσται, ὧν νῦν ἀκούετε. ποιήσομεν· τοῦτο δὲ ἐξήγησαι· πῶς οὐκ ἔστιν ἀγαθὰ, ὅσα λαμβάνουσιν οἱ ἄνθρωποι παρὰ τῆς Τύχης; οἷον τὸ ζῆν, τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ εὐδοξεῖν, τὸ τέκνα ἔχειν, τὸ νικᾶν καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια; ἢ πάλιν, τὰ ἐναντία· πῶς οὐκ ἔστι κακά; πάνυ γὰρ ἡμῖν παράδοξον καὶ ἄπιστον δοκεῖ τὸ λεγόμενον. Ἄγε τοίνυν πειρῶ, ἔφη, ἀποκρίνασθαι τὸ φαινόμενον, περὶ ὧν ἄν σε ἐρωτῶ. Ἀλλὰ ποιήσω τοῦτο, ἔφην ἐγώ. πότερον οὖν κἂν καλῶς τις ζῇ, ἀγαθὸν ἐκείνῳ; Οὔ μοι δοκεῖ, ἀλλὰ κακὸν, ἔφην ἐγώ· Πῶς οὖν ἀγαθόν ἐστι τὸ ζῆν, ἔφη, εἴπερ

τούτῳ

τούτῳ ἐστὶ κακόν; Ὅτι τοῖς μὲν κακῶς ζῶσι, κακόν μοι δοκεῖ εἶναι· τοῖς δὲ καλῶς, ἀγαθόν. Καὶ κακὸν ἄρα λέγεις τὸ ζῆν καὶ ἀγαθὸν εἶναι; ἔγωγε· Μὴ οὖν ἀπιθάνως λέγε. Ἀδύνατον γὰρ, τὸ αὐτὸ πρᾶγμα καὶ κακὸν καὶ ἀγαθὸν εἶναι. οὕτω μὲν γὰρ καὶ ὠφέλιμον καὶ βλαβερὸν ἂν εἴη, καὶ αἱρετὸν καὶ φευκτὸν ἅμα ἀεί. ἀπίθανον μέν. Ἀλλὰ πῶς, εἰ τὸ κακῶς ζῆν, ᾧ ἂν ὑπάρχοι, κακόν τι ὑπάρχει αὐτῷ, κακὸν αὐτὸ τὸ ζῆν ἐστιν; ἀλλ' οὐ τὸ αὐτὸ, ἔφη, ὑπάρχει τὸ ζῆν τῷ κακῶς ζῆν. ἢ οὐ σοι φαίνεται; ἀμέλει οὐδ' ἐμοὶ δοκεῖ τὸ αὐτὸ εἶναι. Τὸ τοίνυν ζῆν οὐ κακόν ἐστιν· ἐπεὶ εἰ ἦν κακὸν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν, ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν, ὅπερ ἐστὶ κακόν. Ἀληθῆ μοι δοκεῖς λέγειν. Ἐπεὶ τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν, καὶ τοῖς κακῶς ζῶσι, καὶ τοῖς καλῶς, οὐκ ἂν εἴη οὔτε ἀγαθὸν εἶναι τὸ ζῆν, οὔτε κακόν. ὥσπερ οὐδὲ τὸ τέμνειν καὶ καίειν ἐν τοῖς ἀῤῥωστοῦσίν ἐστι νοσερὸν καὶ ὑγιεινόν. οὐκ οὖν οὕτω καὶ ἐπὶ τοῦ ζῆν ἐστι ταῦτα. Σὺ τοίνυν οὕτω θεώρησον· πότερον ἂν βούλοιο ζῆν κακῶς, ἢ ἀποθανεῖν καλῶς καὶ ἀνδρείως; Ἀποθανεῖν ἔγωγε καλῶς. Οὐκ οὖν οὐδὲ τὸ ἀποθανεῖν κακόν ἐστιν. εἴπερ αἱρετώτερόν ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν. Ἔστι ταῦτα. Οὐκ οὖν ὁ αὐτὸς λόγος, καὶ περὶ τοῦ ὑγιαίνειν, καὶ νοσεῖν· πολλάκις γὰρ οὐ συμφέρει ὑγιαίνειν, ἀλλὰ τοὐναντίον, ὅταν ἡ περίστασις τοιαύτη. Ἀληθῆ λέγεις. Ἄγε δὴ, σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν οὕτως. εἴγε θεωρεῖν ἐστιν, ὡς πολλάκις ἐστὶν ἰδεῖν ὑπάρχοντά τινι πλοῦτον, κακῶς δὲ ζῶντα τοῦτον καὶ ἀθλίως. Νὴ Δία πολλούς γε. Οὐκοῦν οὐδὲ τούτοις ὁ πλοῦτος βοηθεῖ εἰς τὸ ζῆν καλῶς. Οὐ

φαί-

φαίνεται· αὐτοὶ γὰρ φαῦλοί εἰσιν. Οὐκοῦν τὸ σπουδαίους εἶναι, οὐχ ὁ πλοῦτος ποιεῖ, ἀλλ᾽ ἡ Παιδεία. εἰκός γε. Ἐκ τούτου ἄρα τοῦ λόγου πῶς ὁ πλοῦτος ἀγαθόν ἐστιν, εἴπερ οὐ βοηθεῖ τοῖς ἔχουσιν αὐτὸν, εἰς τὸ βελτίους εἶναι; φαίνεται. Οὕτως οὐδὲ συμφέρει ἄρα ἐνίοις πλουτεῖν, ὅταν μὴ ἐπίστανται τῷ πλούτῳ χρῆσθαι. δοκεῖ μοι. Πῶς οὖν τοῦτο ἄν τις κρινεῖ ἀγαθὸν εἶναι, ὃ πολλάκις οὐ συμφέρει ὑπάρχειν οὐδαμῶς; Οὐκ οὖν εἰ μέν τις ἐπίσταται πλούτῳ χρῆσθαι καλῶς καὶ ἐμπείρως, εὖ βιώσεται· εἰ δὲ μὴ, κακῶς; Ἀληθέστατά μοι δοκεῖς τοῦτο λέγειν. Καὶ τὸ σύνολον δὲ τὸ τιμᾶν ταῦτα ὡς ἀγαθὰ ὄντα, ἢ ἀτιμάζειν ὡς κακὰ, τοῦτό ἐστι τὸ ταράττον τοὺς ἀνθρώπους καὶ βλάπτον, ὅταν τιμῶσί τε αὐτὰ, καὶ οἴονται διὰ τούτων μόνον εὐδαιμονεῖν καὶ πάνθ᾽ ἑπομένως πράττουσιν ἕνεκα τούτων καὶ τὰ ἀσεβέστατα δοκοῦντα εἶναι. Ταῦτα δὲ πάσχουσι διὰ τὴν τοῦ ἀγαθοῦ ἄγνοιαν.

V.

# EX HERODIANO.

## Pertinacis Romanorum Imperatoris Historia.

(Lib. II. cap. 1 - 5.)

Ἀνελόντες τὸν Κόμμοδον οἱ ἐπιβουλεύσαντες, κρύψαι τε τὸ γενόμενον βουλόμενοι· ὡς ἂν τοὺς φυλάσσοντας τὴν βασίλειον αὐλὴν δορυφόρους λάθοιεν, εἰλίσαντες στρωμνῇ τινι εὐτελεῖ τὸ σωμάτιον καὶ καταδήσαντες, ἐπιθέντες δυσὶν οἰκέταις τῶν πιστῶν ἑαυτοῖς, ἐκπέμπουσιν ὡς δή τι σκεῦος τῶν ἐκ τοῦ θαλάμου περιττῶν. οἱ δὲ φέροντες διὰ μέσων ἐκφέρουσι τῶν φυλάκων· ὧν οἱ μὲν ἀπὸ μέθης ἐκραιπάλων, οἱ δὲ ἐγρηγορότες, κἀκεῖνοι εἰς ὕπνον κατεφέροντο, κατεχούσαις τε ταῖς χερσὶ τὰ δοράτια ἐπανεπαύοντο· οἱ δ' οὐ πάνυ τὸ ἐκφερόμενον τοῦ θαλάμου, ὅ, τι ποτ' εἴη ἐπολυπραγμόνουν· ἐπεὶ μηδὲ αὐτοῖς διέφερε ταῦτ' εἰδέναι. τὸ μὲν οὖν σῶμα τοῦ βασιλέως οὕτω κλαπὲν, ἐκκομισθέν τε τῆς αὐλείου θύρας, νύκτωρ ὀχήματι ἐπιθέντες, εἰς τὸ ἀριστεῖον ἀπέπεμψαν. Ὁ δὲ Λαῖτος καὶ Ἔκλεκτος ἅμα τῇ Μαρκίᾳ τὸ πρακτέον ἐβουλεύοντο. ἔδοξε δὲ αὐτοῖς περὶ μὲν τοῦ θανάτου φήμην ἐγκατασπεῖραι, ὅτι δὴ αἰφνιδίως τετελευτήκοι, ἀποπληξίας ἐπιπεσούσης. καὶ γὰρ ἐνδεχομένην πίστιν ἕξειν ᾤοντο τὴν φήμην, προδιαβεβλημένης τῆς ἀκορέστου καὶ ὑπερβαλλούσης ἐκείνου τροφῆς. πρῶτον δὲ ἔδοξεν αὐτοῖς ἐπιλέξασθαι ἄνδρα πρεσβύτην τινὰ καὶ σώφρονα, τὸν διαδεξόμενον τὴν ἀρχήν· ὅπως αὐτοί τε σωθεῖεν, καὶ ἀπὸ τῆς πικρᾶς καὶ ἀκο-

ἀκο-

ἀκολάστου τυραννίδος πάντες ἀναπνεύσειαν. καθ' ἑαυτοὺς δὲ ἀναλογιζόμενοι, οὐδένα οὕτως ἐπιτήδειον εὕρισκον ὡς Περτίνακα. ἦν δὲ ὁ Περτίναξ τὸ μὲν γένος Ἰταλιώτης, ἐν δὲ πολλαῖς στρατιωτικαῖς τε καὶ πολιτικαῖς εὐδοκιμήσας πράξεσι· πολλὰ δὲ κατὰ Γερμανῶν καὶ τῶν ὑπὸ τὴν ἀνατολὴν βαρβάρων ἐγείρας τρόπαια, μόνος τε περιλειφθεὶς τῶν σεμνῶν πατρῴων τῷ Κομμόδῳ φίλων, ὃν οὐκ ἀπέκτεινε, τῶν Μάρκου ἑταίρων τε καὶ στρατηγῶν ἐντιμότατον γενόμενον, ἢ διὰ σεμνότητα αἰδούμενος, ἢ ὡς πένητα τηρήσας. ἦν γὰρ αὐτοῦ καὶ τοῦτο μέρος τῶν ἐγκωμίων, ὅτι πλεῖστα πάντων ἐγχειρισθεὶς, πάντων οὐσίαν εἶχεν ἐλάττονα. Πρὸς δὴ τοῦτον τὸν Περτίνακα, νυκτὸς ἀκμαζούσης, πάντων τε ὕπνῳ κατειλημμένων, ἀφικνοῦνται ὁ Λαῖτος καὶ Ἔκλεκτος, ὀλίγους τῶν συνωμοτῶν ἐπαγόμενοι. ἐπιστάντες δὲ αὐτοῦ κεκλεισμένης τῆς οἰκίας ταῖς θύραις, διεγείρουσι τὸν φυλάττοντα. ἀνοίξας δὲ ἐκεῖνος καὶ θεασάμενος στρατιώτας ἐφεστῶτας, καὶ Λαῖτον ὃν ᾔδει ἔπαρχον ὄντα, ἐκπλαγεὶς καὶ ταραχθεὶς ἀγγέλλει. ὁ δὲ ἥκειν αὐτοὺς κελεύει, δεινὰ, προσδοκώμενα ἑαυτῷ ἑκάστοτε, συμβήσεσθαι φάσκων. ἐν τοσαύτῃ γοῦν αὐτὸν φασὶ μεῖναι ψυχῆς ἀταραξίᾳ, ὡς μηδ' ἀναθορεῖν τοῦ σκίμποδος, μεῖναι δὲ ἐπὶ τοῦ σχήματος. καὶ τὸν Λαῖτον ἅμα τῷ Ἐκλέκτῳ εἰσελθόντα, καίτοι δοκοῦντας ἐπὶ φόνῳ ἥκειν, προσειπεῖν τε καὶ θαῤῥοῦντι μηδὲ ὠχριάσαντι τῷ προσώπῳ, Πάλαι μὲν, φάναι, καὶ πάσης νυκτὸς τόδε τὸ τέλος τοῦ βίου εἶχον δι' ἐλπίδος· μόνος τε τῶν πατρῴων περιλειπόμενος φίλων ἔτι, ἐθαύμαζον ἐπ' ἐμοὶ Κόμμοδον βραδύνοντα. τί δὴ μέλλετε;

ὑμεῖς

ὑμεῖς τε γὰρ δράσετε τὸ κεκελευσμένον, ἐγώ τε πονηρᾶς ἐλπίδος καὶ φόβου συνεχοῦς ἀπαλλάξομαι. Πρὸς ταῦτα ὁ Λαῖτος, Οὐ παύσῃ (ἔφη) ἀνάξια σαυτοῦ καὶ τῶν προβεβιωμένων σοι λέγων; οὐ γὰρ ἐπ' ὀλέθρῳ τῷ σῷ ἥδε ἡμῶν ἡ ἄφιξις, ἀλλ' ἐπὶ σωτηρίᾳ τῇ τε ἡμῶν αὐτῶν καὶ τῆς Ῥωμαίων ἀρχῆς. κεῖται μὲν γὰρ ὁ τύραννος, δίκην δοὺς τὴν προσήκουσαν· καὶ ἅπερ αὐτὸς ἡμᾶς δρᾶσαι διενοεῖτο, ταῦτα πρὸς ἡμῶν παθών. ἡμεῖς δὲ ἥκομεν σοὶ τὴν βασιλείαν ἐγχειριοῦντες, ὃν ἴσμεν προὔχοντα ἐν τῇ συγκλήτῳ βουλῇ, σωφροσύνῃ βίου, μεγέθει τε ἀξιώματος καὶ ἡλικίας σεμνότητι ποθούμενόν τε καὶ τιμώμενον ὑπὸ τοῦ δήμου. ὅθεν κἀκείνοις εὐκταῖον, καὶ ἡμῖν σωτήριον τὸ πραττόμενον ἔσεσθαι προσδοκῶμεν. Πρὸς ταῦτα ὁ Περτίναξ, Οὐ παύσεσθε (ἔφη) χλευάζοντες πρεσβύτην, καὶ τοσαύτην μου δειλίαν κατεγνωκότες, ὡς πρῶτον ἀπατῆσαι βούλεσθε, εἶθ' οὕτω φονεῦσαι; Ἀλλὰ μὴν (ἔφη ὁ Ἔκλεκτος) ἐπεὶ λέγουσιν ἡμῖν οὐ πεπίστευκας, λαβὼν τουτὶ τὸ γραμματεῖον (γνωρίζεις δὲ τὴν Κομμόδου χεῖρα, οὔσης σοὶ τῆς ἀναγνώσεως ἐν συνηθείᾳ) ἐπίσκεψαι. οὕτω γὰρ γνώσῃ τίνα τε κίνδυνον ἐφύγομεν, καὶ ὅτι μὴ σκῆψις, ἀλλ' ἀλήθεια πρόσεστι τοῖς λεχθεῖσιν. Ἐπιγνοὺς δὴ τὰ γεγραμμένα ὁ Περτίναξ, πεισθείς τε ἀνδράσι καὶ πρότερον αὐτοῦ φίλοις, πάντα πυθόμενος τὰ πεπραγμένα, ἐπιδίδωσιν ἑαυτόν.

Καὶ πρῶτον ἀρέσκει προελθεῖν ἐπὶ τὸ στρατόπεδον, καὶ πεῖραν τῆς γνώμης τῶν στρατιωτῶν λαβεῖν· πείσειν δὲ αὐτοὺς ὁ Λαῖτος ὑπισχνεῖτο, ἐπείπερ αὐτῷ ἐπάρχῳ ὄντι μετρίαν ἀπένεμον αἰδῶ.

συμ-

συμπαραλαβόντες ἓν καὶ τῶν λοιπῶν ὅσοι παρῆσαν, ἐπὶ τὸ στρατόπεδον ἠπείγοντο. ἤδη δὲ καὶ τὸ πλεῖστον τῆς νυκτὸς προκεχωρήκει, καὶ τῆς ἑορτῆς ἐνεστώσης, πρὸ ἡμέρας πάντα ἐπράττετο. διαπέμπουσι δὴ τινὰς τῶν πιστῶν τοὺς διαβοήσοντας, ὅτι ὁ Κόμμοδος τέθνηκε μὲν, ὁ Περτίναξ δὲ εἰς τὸ στρατόπεδον βασιλεύσων ἄπεισι. διαδραμούσης δὲ τῆς φήμης, πᾶς ὁ δῆμος ἐνθουσιῶντι ἐοικὼς ἐξεβακχεύετο· διέθεόν τε, καὶ τοῖς οἰκείοις ἕκαστος χαίρων διήγγελλε, καὶ μάλιστα τοῖς ἐπ' ἀξιώσεως, ἢ πλουσίοις. ἐκείνοις γὰρ καὶ ἐπιβουλεύοντα ᾔδεσαν τὸν Κόμμοδον. ἔθεόν τε περί τε τὰ ἱερὰ καὶ βωμοὺς, θεοῖς χάριτας ὁμολογοῦντες. ἐβόων δὲ διάφορα· οἱ μὲν, κεῖσθαι τὸν τύραννον λέγοντες· οἱ δὲ, τὸν μονομάχον· ἄλλοι δὲ, ἀπρεπέστερα βλασφημοῦντες. καὶ ὅσα πρότερον ἐπεῖχεν ὁ φόβος ῥήματα, ταῦτα, προελθούσης ἀδείας καὶ ἐλευθερίας, ῥαδίως ἐλέγετο. πλεῖστον δὴ τοῦ δήμου συνέθει δρόμῳ, καὶ ἐπὶ τὸ στρατόπεδον ἠπείγετο, τοῦτο μάλιστα δεδιότες, μήπως ἄρα οἱ στρατιῶται ὀκνηρότερον ἐπακούσωσι τῇ Περτίνακος ἀρχῇ. ἐσομένην γὰρ σώφρονα, μὴ πάνυ τι ἀποδέξασθαι τοὺς στρατιώτας προσεδόκων, τυραννίδι δουλεύειν εἰθισμένους, ἁρπαγαῖς τε καὶ βίαις ἐγγεγυμνασμένους. ἵν' οὖν αὐτοὺς ἐκβιάσοιντο ὑπακοῦσαι, πανδημεὶ συνῆλθον. ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ στρατοπέδῳ, ὁ Λαῖτός τε καὶ Ἔκλεκτος εἰσῆλθον ἄγοντες τὸν Περτίνακα, συγκαλέσας τοὺς στρατιώτας ὁ Λαῖτος, ἔλεξε τοιάδε, Κόμμοδος μὲν ἡμῖν ὁ βασιλεὺς τέθνηκεν ἀποπληξίᾳ· αἴτιος δὲ τοῦ τοιούτου θανάτου οὐκ ἄλλος, ἀλλ' αὐτὸς αὑτῷ. συμβουλεύουσι γὰρ ἡμῖν ἀεὶ τὰ ἄριστα καὶ

σωτήρια, οἷς μὴ πειθόμενος, βιοὺς δὲ ὡς οὐκ ἀγνοεῖτε, ὑπὸ πλήθους ἀποπνιγεὶς, διεφθάρη. τὸν μὲν οὖν κατέλαβε τέλος τὸ πεπρωμένον. οὐδὲ γὰρ μία οὐδ' ἡ αὐτὴ πᾶσιν ἀνθρώποις θανάτου αἰτία· διάφοροι δὲ οὖσαι, εἰς ἓν τέρμα βίου συντελοῦσιν. ἀλλ' ἀντ' ἐκείνου γὰρ ὑμῖν ἄγομεν ἡμεῖς τε καὶ ὁ δῆμος ὁ Ῥωμαίων ἄνδρα τὴν μὲν ἡλικίαν σεμνὸν, τὸν δὲ βίον, σώφρονα· ἀρετῆς δὲ τῆς ἐν ἔργοις ἔμπειρον. ὧν οἱ μὲν πρεσβύτεροι, καὶ τῶν στρατιωτικῶν αὐτοῦ παρατάξεων ἐπειράθητε· οἱ δὲ λοιποὶ, τῆς πόλεως ἐπάρχοντα τοσούτων ἐτῶν, ἀεὶ διὰ τιμῆς τε καὶ θαύματος ἔχετε. δίδωσί τε ὑμῖν ἡ τύχη οὐ βασιλέα μόνον, ἀλλὰ καὶ πατέρα χρηστόν. εὐφρανεῖ τε ἡ τοῦδε ἀρχὴ οὐ μόνον ὑμᾶς τοὺς ἐνταυθοῖ δορυφοροῦντας, ἀλλὰ καὶ τοὺς ἐπὶ ταῖς ὄχθαις τῶν ποταμῶν, καὶ τοὺς ἐπὶ τοῖς ὅροις τῆς Ῥωμαίων ἀρχῆς ἱδρυμένους, οἱ τὴν πεῖραν αὐτοῦ τῶν ἔργων φέρουσι διὰ μνήμης. τό, τε γὰρ βάρβαρον οὐ χρήμασιν ἔτι θεραπεύσομεν, πεῖρα δὲ ὧν πρὸς αὐτοῦ πεπόνθασι στρατηγοῦντος, φόβῳ ὑποτάξονται. Τοιαῦτα δὴ λέγοντος τοῦ Λαίτου, μὴ καταχὼν ἑαυτὸν ὁ δῆμος, μελλόντων καὶ ὀκνούντων ἔτι τῶν στρατιωτῶν, σεβαστόν τε ἀναγορεύει, καὶ πατέρα καλεῖ, πάσαις τε γεραίρει εὐφημίαις. τότε καὶ οἱ στρατιῶται οὐχ ὁμοίᾳ μὲν προθυμίᾳ, τῇ δὲ ἐκ τοῦ παρόντος πλήθους ἀνάγκῃ (καὶ γὰρ ἦσαν πανταχόθεν ὑπὸ τοῦ δήμου περιειλημμένοι, ὀλίγοι τε, καὶ ἄνευ τῶν ὅπλων, ὡς ἐν ἱερομηνίᾳ) πλὴν συνεξεβόησαν, καὶ σεβαστὸν προσεῖπον τὸν Περτίνακα· εἴς τε τὸ ἐκείνου ὄνομα τοὺς συνήθεις ὅρκους ὀμόσαντες, καὶ θύσαντες, δαφνηφοροῦντες πᾶς ὁ δῆμος καὶ τὸ στρατιωτικόν.

Ἐπεί-

Ἐπείπερ ἱδρύθη ἐν τῇ βασιλείῳ ἑςίᾳ (τῶν τε ςρατιωτῶν καὶ τοῦ δήμου, ὡς προείρηται, νύκτωρ ἀναγαγόντων) φροντίσι μεγίςαις τὴν γνώμην ἐταράττετο. πάνυ τε αὐτὸν (καί τοι δοκοῦντα ψυχῆς εἶναι ἐῤῥωμένης καὶ πρὸς πάντα ἀνδρεῖον) τὰ παρόντα ἐφόβει, οὐχ οὕτω προνοίᾳ τῆς ἑαυτοῦ σωτηρίας, (κινδύνων γὰρ καὶ μειζόνων πολλάκις ἦν καταφρονήσας,) ἐλογίζετο δὲ τήν τε αἰφνίδιον τῆς τυραννίδος μεταβολὴν, τήν τε ἐν τῇ συγκλήτῳ βουλῇ τινῶν εὐγένειαν· οὓς ὑπώπτευεν οὐκ ἀνεξομένους, μετὰ βασιλέα εὐγενέςατον, τὴν ἀρχὴν μεταπεσοῦσαν εἰς ἄνδρα ἐξ ἰδιωτικοῦ καὶ ἀσήμου γένους ἐπὶ τοῦτο ἐλθόντα. εἰ γὰρ καὶ ὁ βίος αὐτῷ διὰ σωφροσύνην ἐπῃνεῖτο, καὶ τὰ ἐν ταῖς ςρατιωτικαῖς πράξεσιν ἦν εὐκλεῆ, ἀλλ᾽ ὅσον εὐγενείας χάριν, πολὺ τῶν εὐπατριδῶν ἀπελείπετο. Ἡμέρας οὖν καταλαβούσης, κατῆλθεν ἐπὶ τὸ συνέδριον τῆς βουλῆς, οὔτε τὸ πῦρ ἐάσας ἑαυτοῦ προπομπεῦσαι, οὔτέ τι ἄλλο τῶν βασιλικῶν συμβόλων εἰς ὕψος ἀρθῆναι, πρὶν ἢ μαθεῖν τὴν γνώμην τῆς συγκλήτου βουλῆς. ἐπεὶ δὲ αὐτὸν ἅμα τῷ ἐπιφανῆναι πάντες ὁμοθυμαδὸν εὐφήμησαν, σεβάσμιόν τε καὶ βασιλέα προσηγόρευσαν· ὁ δὲ τὰ μὲν πρῶτα, παρῃτεῖτο τῆς ἀρχῆς τὸ ἐπίφθονον· γῆρας τε προϊσχόμενος, συγγνώμης ἐδεῖτο· εἶναί τε πολλοὺς εὐπατρίδας ἔφασκεν, οἷς ἡ βασιλεία μᾶλλον ἁρμόζει. καὶ λαβόμενος τῆς χειρὸς Γλαβρίωνος, εἷλκεν αὐτὸν, καθίζεσθαι κελεύων ἐπὶ τοῦ βασιλείου θρόνου. ἦν δὲ ἐκεῖνος εὐγενέςατος μὲν πάντων εὐπατριδῶν· ἀνέφερε γοῦν εἰς Αἰνείαν τὸν Ἀφροδίτης καὶ Ἀγχίσου τὴν τοῦ γένους διαδοχήν· ἔτι δὲ καὶ τὴν



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

ὕπατον ἀρχὴν τελέσας δεύτερον. ὁ δὲ, Ἀλλ' αὐτός τε (ἔφη) ἐγὼ, ὃν σὺ νομίζεις πάντων ἀξιώτατον, σοί τε τῆς ἀρχῆς παραχωρῶ, καὶ πᾶσαν τὴν ἐξουσίαν ἐγὼ καὶ οἱ λοιποὶ πάντες ψηφιζόμενοί σοι διδόντες. Τότε δὲ πάντων αὐτὸν ἐκβιασαμένων ἐκλιπαρησάντων τε, ὀκνῶν καὶ μόλις ἀνελθὼν ἐπὶ τὸν βασίλειον θρόνον, ἔλεξε τοιάδε, Τὸ πάνυ δεξιὸν ὑμῶν τῆς πρός με τιμῆς, καὶ τὸ τῆς σπουδῆς ὑπερβάλλον, ἐπίλεκτόν τε εἰς πρόκρισιν τοσαύτης παρ' ὑμῖν εὐγενείας, οὐκ ἔχον κολακείας ὑποψίαν, ἀλλὰ δεῖξιν καὶ πίστιν εὐνοίας, ἄλλῳ μὲν ἄν τῳ θάρσος καὶ προθυμίαν ἐνέβαλεν εἰς τὸ ἑτοίμως δέξασθαι τὰ ἐγκεχειρισμένα, ἐλπίδα τε ῥᾳστώνης ὑπέφηνεν ἂν, ὡς εὐμαρῶς τὴν ἀρχὴν διοίσοντα ἐν ἀρχομένοις οὕτως εὐνοοῦσιν· ἐμοὶ δὲ ταῦτα μεγάλα ὄντα καὶ ἐξαίρετα, τιμῆς τε αἰσθήσει ἐκπλήττει, δέος τε καὶ ἀγῶνα οὐ μικρὸν ἐμποιεῖ. μεγάλων γὰρ εὐεργεσιῶν προϋπαρχουσῶν, τὸ ἰσότιμον δυσέφικτον. ἀλλ' ἐν ταῖς ἀμοιβαῖς, καὶ μικρὰ μὲν λαβοῦσιν ἀντιδοῦναι μεῖζον, οὐχ οὕτως εὐμαρὲς ὡς εὐχάριστον δοκεῖν· ὁπηνίκα δ' ἂν ὁ πρῶτός τι δράσας ἀγαθὸν, ἀνυπέρβλητον κατάθηται χάριν, τὸ μὴ κατ' ἀξίαν ἀντιδοθὲν, οὐχ οὕτω δυσπόριστον, ὡς ἀναίσθητον ἅμα καὶ ἀχάριστον ὀνομάζεται. ὁρῶ δὴ οὐ τὸν τυχόντα μοι ἐπηρτημένον ἀγῶνα, πρὸς τὸ ἄξιον ἐμαυτὸν παρασχεῖν τῆς τοσαύτης παρ' ὑμῶν τιμῆς. οὐ γὰρ ἐν τῇ καθέδρᾳ ἡ προεδρεία, ἀλλ' ἐν τοῖς ἔργοις, εἴ τις αὐτὴν μὴ καταισχύνοι. ὅσῳ δὲ τὰ γιγνόμενα ὡς φαῦλα μισεῖται, τοσούτῳ τὰ μέλλοντα, ὡς ἀγαθὰ μεγάλως ἐλπίζεται. καὶ τὰ μὲν δεινὰ τῶν ἔργων, ἀεὶ μνημο-

μονεύεται· (τὸ γὰρ λυπῆσαν, δυσεξάλειπτον·) τὰ δὲ χρηστὰ, ἅμα τῇ ἀπολαύσει, καὶ τὴν περὶ αὐτῶν μνήμην συναναλίσκει. ἐπεὶ μὴ ὁμοίως εὐφραίνει ἐλευθερία, ὡς λυπεῖ δουλεία. οὐδέ τις, ἀδεῶς τὰ ἑαυτοῦ ἔχων, ἐν χάριτος μοίρα τίθεται, (τὰ ἴδια καρποῦσθαι νομίζων,) ὁ δὲ τῶν οἰκείων στερηθεὶς, αἰώνιον ἔχων τὴν μνήμην τοῦ λελυπηκότος. οὐδ' εἴ τις εἰς τὸ κοινὸν χρηστὴ γένοιτο μεταβολὴ, αὐτός τέ τι πλέον νομίζοι καρποῦσθαι. ἐπεὶ τοῦ μὲν δημωφελοῦς καὶ κοινῇ διαφέροντος ὀλίγη τοῖς καθ' ἕνα φροντίς· τὸ δὲ καθ' αὑτὸν ἕκαστος εἰ μὴ κατὰ γνώμην προχωροίη, οὐδέν τι μέγα ὠφελεῖσθαι νομίζει. οἵτε εἰθισμένοι ταῖς τῆς τυραννίδος ἀκρίτοις καὶ ἀφειδέσι μεγαλοδωρεαῖς ἐντρυφᾷν, τὴν εἰς τὸ σωφρονέστερον καὶ μεμετρημένον, διὰ σπάνιν χρημάτων, μεταβολὴν, οὐ φιλοσώφρονα, οὐδὲ σύμμετρον καὶ κεκριμένην διοίκησιν ὀνομάζουσιν, ἀλλὰ μικρολογίαν καὶ ἀθλιότητα βίου ὀνειδίζουσιν· οὐκ εἰδότες ὅτι τὸ μὲν μεγάλα καὶ ὡς ἔτυχε χαρίζεσθαι, οὐκ ἂν περιγένοιτο εἰ μὴ ἐκ τοῦ ἁρπάζειν καὶ βιάζεσθαι· τὸ δὲ λογισμῷ πάντα καὶ κατ' ἀξίαν ἑκάστου νέμειν, ἄνευ τοῦ δεινόν τι δρᾶσαι, μὴ παρέχον ἄδικον εὐπορίαν χρημάτων, διδάσκει φειδὼ σώφρονα τῶν καλῶς πορισθέντων. ταῦτα δὴ ὑμᾶς ἐγνωκότας χρὴ συναίρεσθαι, καὶ κοινὴν τῆς ἀρχῆς τὴν διοίκησιν νομίζοντας, ἀριστοκρατίαν τε ἀλλ' οὐ τυραννίδα ὑπομενοῦντας, αὐτούς τε ἀγαθὰς ἔχειν ἐλπίδας, καὶ πᾶσιν τοῖς ἀρχομένοις ταῦτα ὑπισχνεῖσθαι. Τοιαῦτα ὁ Περτίναξ εἰπὼν, ὑπήρεισέ τε τὴν σύγκλητον βουλὴν, καὶ πρὸς πάντων εὐφημισθεὶς, πάσης τε τιμῆς καὶ αἰδοῦς παρ'

αὐτῶν τυχὼν, εἴς τε τὸν τοῦ Διὸς νεὼν καὶ τὰ λοιπὰ ἱερὰ πεμφθεὶς, τάς τε ὑπὲρ τῆς βασιλείας θυσίας τελέσας, εἰς τὴν βασίλειον ἐπανῆλθεν αὐλήν.

Ἐπεὶ δὲ διεφοίτησεν ἡ φήμη τῶν τε λεχθέντων ὑπ᾽ αὐτοῦ ἐν τῇ συγκλήτῳ, καὶ τῶν πρὸς τὸν δῆμον γραφέντων, ὑπερήδοντο πάντες, σεμνὸν καὶ ἤπιον ἄρχοντα, καὶ πατέρα οὐ βασιλέα ἕξειν ἐλπίζοντες. τούς τε γὰρ στρατιώτας ἐκέλευσε παύσασθαι τῆς πρὸς τοὺς δημότας ὕβρεως, καὶ μήτε παίειν τινὰ τῶν παριόντων· εἴς τε τὸ κόσμιον καὶ εὔτακτον μετάγειν πάντα ἐπειρᾶτο, ἔν τε ταῖς προόδοις καὶ τοῖς δικαστηρίοις πρᾶον καὶ ἥμερον ἦθος ἐπεδείκνυτο. καὶ τῆς Μάρκου ἀρχῆς ζήλῳ τε καὶ μιμήσει, τοὺς μὲν πρεσβυτέρους ὑπομιμνήσκων εὔφραινε, τοὺς δ᾽ ἄλλους πάντας, ἐξ ὠμῆς καὶ ἐφυβρίστου τυραννίδος, εἰς σώφρονα καὶ ἀμέριμνον βίον μεταχθέντας, ῥᾷστα εἰς εὔνοιαν ᾠκειώσατο. τῆς τε ἡμέρου ἀρχῆς ἡ φήμη διαθέουσα πάντα ἔθνη καὶ πάντα στρατόπεδα, ὅσά τε Ῥωμαίοις ὑπήκοα καὶ ὅσα φίλα, ἐκθειάζειν αὐτοῦ τὴν ἀρχὴν ἔπειθεν. ἀλλὰ μὴν καὶ τῶν βαρβάρων ὅσοι πρότερον ἀφηνίαζον, ἢ ἐστασίαζον, φόβῳ τε καὶ μνήμῃ τῆς ἐν ταῖς προτέραις αὐτοῦ στρατείαις ἀρετῆς, πίστει τε γνώμης, ὅτι μηδένα ἑκὼν ἀδικήσει ποτὲ, ἑκάστῳ τὸ κατ᾽ ἀξίαν ἀπονέμων, χάριτος ἀπρεποῦς καὶ βίας ὠμῆς ἀλλότριος, ἑκόντες αὐτῷ προσεχώρουν. πρεσβεῖαί τε πανταχόθεν ἀφικνοῦντο, συνηδομένων ἁπάντων τῇ Ῥωμαίων ὑπὸ Περτίνακι ἀρχῇ. Οἱ μὲν οὖν ἄλλοι πάντες ἄνθρωποι, καὶ κοινῇ καὶ ἰδίᾳ, τῷ εὐτάκτῳ καὶ ἡμέρῳ τῆς βασιλείας ἔχαιρον· ὁ

δὲ πάντας εὔφραινε, τοῦτο μόνους ἐλύπει τοὺς ἐν τῇ Ῥώμῃ στρατιώτας, οἳ δορυφορεῖν εἰώθασι τοὺς βασιλέας, κωλυόμενοι γὰρ ἁρπάζειν τε καὶ ὑβρίζειν, εἴς τε τὸ εὔτακτον καὶ κόσμιον ἀνακαλούμενοι, τὸ πρᾶον καὶ ἥμερον τῆς ἀρχῆς, ὕβριν αὐτῶν καὶ ἀτιμίαν, καθαίρεσίν τε τῆς ἀνέτου ἐξουσίας νομίζοντες, τὴν τῆς ἀρχῆς οὐκ ἔφερον εὐταξίαν· ἀλλὰ τὰ μὲν πρῶτα κατ' ὀλίγον ὀκνηροὺς τε καὶ ἀπειθεῖς αὑτοὺς τοῖς κελευομένοις παρεῖχον· τὸ δὲ τελευταῖον, οὐδ' ὅλων μηνῶν δύο τῆς βασιλείας αὐτῷ προκεχωρηκυίας, ἐπιδειξαμένου τε ἐν ὀλίγῳ χρόνῳ πολλὰ σώφρονα καὶ χρηστὰ ἔργα, ἐλπίδων τε ἀγαθῶν τοῖς ἀρχομένοις ὑποφαινομένων. ἐβάσκηνε πάντα καὶ ἀνέτρεψε πονηρὰ τύχη, ἐκώλυσέ τε θαυμαστὰ καὶ ἐπωφελῆ τοῖς ὑπηκόοις ἔργα εἰς τέλος ἀχθῆναι. πρῶτον μὲν γὰρ πᾶσαν τήν τε Ἰταλίαν, καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν ἀγεώργητόν τε καὶ παντάπασιν οὖσαν ἀργὸν, ἐπέτρεψεν ὁπόσην τις βούλεται καὶ δύναται, εἰ καὶ βασιλέως κτῆμα εἴη, καταλαμβάνειν· ἐπιμεληθέντι τε καὶ γεωργήσαντι, δεσπότην εἶναι. ἔδωκέ τε γεωργοῦσιν ἀτέλειαν πάντων εἰς δέκα ἔτη, καὶ διὰ παντὸς δεσποτείας ἀμεριμνίαν. τοῖς τε βασιλικοῖς κτήμασιν ἐκώλυσεν αὑτοῦ τὸ ὄνομα ἐπιγράφεσθαι· εἰπὼν αὐτὰ οὐκ ἴδια τοῦ βασιλεύοντος εἶναι, ἀλλὰ κοινὰ καὶ δημόσια τῆς Ῥωμαίων ἀρχῆς. τέλη τε πάντα πρότερον ἐπὶ τῆς τυραννίδος εἰς εὐπορίαν χρημάτων ἐπινοηθέντα, ἐπί τε ὄχθαις ποταμῶν, καὶ λιμέσι πόλεων, ἔν τε ὁδῶν πορείαις, καταλύσας, εἰς τὸ ἀρχαῖον καὶ ἐλεύθερον ἀφῆκεν. ἐμέλλησε δ' ἂν ἔτι καὶ πλείονα, (ὥς γε τὰ τῆς προαιρέσεως ἐνεδείκνυ-

το,) εὐεργετήσειν τοὺς ὑπηκόους. ἐπεὶ καὶ τοὺς συκοφάντας τῆς πόλεως ἦν διώξας, καὶ τοὺς πανταχοῦ ἦν κολασθῆναι κελεύσας, τοῦ μηδένα ἐπηρεάζεσθαι, μήτε ματαίοις ἐγκλήμασι περιπίπτειν, προνοούμενος. ἐν ἀδείᾳ τε καὶ μακαρίῳ βίῳ ἥ τε σύγκλητος μάλιστα καὶ οἱ λοιποὶ πάντες βιώσεσθαι προσεδόκων. οὕτω γὰρ μέτριος καὶ ἰσότιμος ἦν, ὡς καὶ τὸν υἱὸν αὐτοῦ, ἤδη μειράκιον ὄντα, μήτε εἰς τὴν βασίλειον αὐλὴν ἀναγαγεῖν, ἀλλ᾽ ἔν τε τῇ πατρῴᾳ μένειν οἰκίᾳ, καὶ εἰς τὰ συνήθη προϊόντα διδασκαλεῖα καὶ γυμνάσια, ἰδιωτεύοντα, ὁμοίως τοῖς λοιποῖς παιδεύεσθαί τε καὶ πάντα πράττειν, οὐδαμοῦ τῦφον ἢ πομπὴν παρεχόμενον βασιλικήν.

Τοιαύτης δὲ εὐμοιρίας καὶ εὐταξίας κατεχούσης τὸν βίον, μόνοι οἱ δορυφόροι, ἀσχάλλοντες μὲν ἐπὶ τοῖς παροῦσι, ποθοῦντες δὲ τὰς ἐπὶ τῆς προγενομένης τυραννίδος ἁρπαγάς τε καὶ βίας, ἔν τε ἀσωτίαις καὶ κραιπάλαις, ἐβουλεύσαντο ἀποσκευάσασθαι τὸν Περτίνακα, ὡς ὄντα αὐτοῖς βαρὺν καὶ ἐπαχθῆ· ζητῆσαι δέ τινα τὸν πάλιν αὐτοῖς ἄνετον καὶ ἀκόλαστον παρέξοντα ἐξουσίαν. αἰφνιδίως τοίνυν, οὐδενὸς προσδοκῶντος, ἀλλὰ πάντων ἐν ἡσυχίᾳ διατριβόντων, καὶ θυμῷ καὶ ἀλόγῳ ὁρμῇ τοῦ στρατοπέδου δρόμῳ φερόμενοι αὐτοί, ἡμέρας ἀκμαζούσης, ἐπεισῆλθον τοῖς βασιλείοις, τά τε δόρατα διατεινάμενοι καὶ τὰ ξίφη σπασάμενοι. τῷ δὲ παραδόξῳ τοῦ ἔργου καὶ ἀνελπίστῳ οἱ ἐν τῇ βασιλείῳ ὑπηρεσίᾳ ταραχθέντες, ὀλίγοι τε πρὸς πολλοὺς καὶ ἄνοπλοι πρὸς ὡπλισμένους, οὐκ ἔμενον, ἀλλ᾽ ἕκαστος ἣν ἐγκεχείριστο φρουρὰν λιπών, ἢ ἐπὶ

τῇ

τῇ αὐλείῳ ἢ ἐπὶ ταῖς λοιπαῖς εἰσόδοις, ἔφευγον. ὀλίγοι δέ τινες τῶν εὐνοούντων, διαγγείλαντες τῷ Περτίνακι τὴν ἔφοδον, συνεβούλευον φυγεῖν, τῇ τε τοῦ δήμου βοηθείᾳ ἑαυτὸν ἐπιδοῦναι. ὁ δὲ, καὶ τοῖς συμβουλεύουσιν αὐτῷ πρὸς τὸ παρὸν ὠφέλιμα μὴ πεισθεὶς, ἀπρεπῆ δὲ καὶ ἀνελεύθερα, βασιλείας τε ἀνάξια καὶ τῶν προβεβιωμένων αὐτῷ καὶ προπεπραγμένων, νομίσας, φεύγειν μὲν ἢ λαθεῖν οὐκ ἠθέλησεν· ὁμόσε δὲ χωρήσας τῷ πράγματι, προῆλθεν ὡς διαλεξόμενος αὐτοῖς· ἐλπίσας πείσειν τε αὐτοὺς, καὶ παύσειν τῆς ἀλόγου εἰς τὸ παρὸν ὁρμῆς. καὶ δὴ τοῦ δωματίου προελθὼν, ὑπαντώμενος αὐτοῖς, πυνθάνεσθαί τε ἐπειρᾶτο τὰς αἰτίας τῆς ὁρμῆς, πείθειν τε ἐπεχείρει, μὴ ἐνθουσιασμένως καὶ τότε ἐν σώφρονι καὶ σεμνῷ σχήματι, καὶ τηρῶν τὸ τοῦ βασιλέως ἀξίωμα, οὐδέν τι κατεπτηχότος, οὐδὲ καταδειλιῶντος καὶ ἱκετεύοντος σχῆμα ἐνδεικνύμενος. Τὸ μὲν ἐμὲ (ἔφη) πρὸς ὑμῶν ἀναιρεθῆναι, οὐδέν τι μέγα ἢ βαρὺ πρεσβύτῃ εἰς μακρὸν γῆρας ἐνδόξως ἐλάσαντι· (παντὶ γὰρ ἀνθρώπων βίῳ ἀνάγκη τέλος ἐπιτεθῆναι·) τὸ δὲ ὑμᾶς φύλακας καὶ φρουροὺς δοκοῦντας βασιλέως, καὶ τοὺς ἔξωθεν κινδύνους ἀπείργοντας, αὐτοὺς γενέσθαι φονεῖς, καὶ μὴ μόνον ἐμφυλίῳ, ἀλλὰ καὶ βασιλείῳ μιᾶναι τὰς δεξιὰς αἵματι, ὁρᾶτε μὴ πρὸς τὸ νῦν ἀνόσιον, καὶ ὕστερον ὑμῖν ἐπικίνδυνον ᾖ. οὐ γάρ τι ἐμαυτῷ σύνοιδα λυπήσαντι ὑμᾶς. εἰ δὲ καὶ ἐπὶ τῇ Κομμόδου τελευτῇ δυσχεραίνετε, οὐδὲν παράδοξον, ἄνθρωπον ὄντα εἰ τελευτὴ κατέλαβεν. εἰ δὲ τοῦτο ἐξ ἐπιβουλῆς οἴεσθε γεγενῆσθαι, οὐκ ἐμὸν τὸ ἁμάρτημα. ἴστε γὰρ ἔξω πάσης ὄντα

με ὑποψίας, καὶ ἐδὲν ἧττον ὑμῶν ἀγνοῦντα τὰ τότε πεπραγμένα· ὡς, εἴ τι ὑποπτεύετε, ἑτέροις ὑποφέρειν τὸ ἔγκλημα. ἀλλ᾽ ὅμως τελευτήσαντος κἀκείνε, ἐδὲν ὑμῖν τῶν εὐπρεπῶς καὶ κατ᾽ ἀξίαν, καὶ ἄνευ τῦ βιάζεσθαί με ἢ ἁρπάζειν, ἐνδεήσει. Τοιαῦτά τινα λέγειν αὐτοῖς πειρώμενος, ἤδη τινὰς αὐτῶν καὶ πείσειν ἐμέλλησε· καὶ ἐκ ὀλίγοι γε ἀποστραφέντες ἀνεχώρεν, σεμνῦ βασιλέως γῆρας αἰδέμενοι· ἔτι δὲ λαλῦντα τὸν πρεσβύτην ἐπιπεσόντες φονεύεσι· δράσαντές τε ἕτως ὠμὸν ἔργον, δέει τῶν τετολμημένων φθάσαι θέλοντες τὴν τῦ δήμε ἔφοδον, ἐπιστάμενοί τε ὅτι χαλεπῶς τὸ πλῆθος διοίσει τὰ πεπραγμένα, εἰς τὸ στρατόπεδον δρόμῳ ἀναχωρήσαντες, ἐντὸς τείχες ἔμενον, φρερὰς ἐπὶ τῶν πύργων καταστήσαντες, ὡς ἀμύνοιντο, εἰ τῷ τείχει προσβάλλοι ὁ δῆμος. τέλος μὲν δὴ τοιῦτον κατέλαβε Περτίνακα χρησάμενον βίῳ καὶ προαιρέσει ὡς προείρηται.

## Poena, quam Seuero imperante dederunt milites, qui Pertinacem interfecerant.

(Lib. II. cap. 10 - 13.)

Θεραπεύσας (ὁ Σεβῆρος) διὰ γραμμάτων πάντας τὲς κατὰ τὸ Ἰλλυρικὸν ἅμα καὶ ἄρχοντας, προσηγάγετο αὐτές. ἀθροίσας δὲ τὲς πανταχόθεν στρατιώτας, ἀντὶ Σεβήρε τε ἑαυτὸν Περτίνακα ὀνομάσας (ὅπερ ἐ μόνον ἤλπιζε τοῖς Ἰλλυρικοῖς εἶναι κεχαρισμένον, ἀλλὰ καὶ τῷ δήμῳ τῶν Ῥωμαίων, διὰ τὴν ἐκείνε γνώμην) συγκαλέσας τε αὐτὲς εἰς τὸ πεδίον, καὶ βήματος αὐτῷ ἀρθέντος, ἀνελθὼν ἔλεξε τοιάδε, Τὸ πιστὸν ὑμῶν, καὶ

πρός τε θεοὺς σεβάσμιον, ὃν ὄμνυτε, πρός τε βασιλέας τίμιον ὃν αἰδεῖσθε, δεδηλώκατε δι᾽ ὧν ἀγανακτεῖτε ἐφ᾽ οἷς οἱ κατὰ τὴν Ῥώμην στρατιῶται, πομπῆς μᾶλλον ἢ ἀνδρείας ὑπηρέται, ἐτόλμησαν. κἀμοὶ δὲ δι᾽ εὐχῆς ἐστι, πρότερον μὲν οὐδ᾽ ἄλλοτε ἀντιποιησαμένῳ τοιαύτης ἐλπίδος, (ἴστε γάρ μου τὸ πρὸς τοὺς βασιλεύσαντας πειθήνιον,) νῦν δε ἐπὶ τέλος τε ἀγαγεῖν, καὶ ἀνύσαι ταῦτα ἅπερ ἐστὶν ὑμῖν κεχαρισμένα· τήν τε Ῥωμαίων ἀρχὴν μὴ περιϊδεῖν ἐῤῥιμμένην, ἣ πρότερον μὲν, μέχρι καιρῶν σεμνοπρεπῶς διοικουμένη, σεβάσμιος ἐφαίνετο· εἰς Κόμμοδον δὲ μεταπεσοῦσα, εἰ καί τινα ὑπ᾽ ἐκείνου διὰ νεότητα ἐπλημμελεῖτο, ἀλλ᾽ οὖν τῇ εὐγενείᾳ καὶ τῇ τοῦ πατρὸς μνήμῃ ἐπεσκιάζετο· καὶ πλέον ἦν ἐν αὐτῷ τὸ ἐλεούμενον ἐφ᾽ οἷς ἐσφάλλετο, ἢ τὸ μισούμενον. ἐπεὶ τὰ πλεῖστα τῶν γινομένων οὐκ εἰς ἐκεῖνον ἀνεφέρομεν, ἀλλ᾽ εἰς τοὺς περὶ αὐτὸν κόλακάς τε καὶ οὐ πρεπόντων ἔργων ὁμοῦ συμβούλους τε καὶ ὑπηρέτας. ἐπεὶ δὲ εἰς σεμνὸν πρεσβύτην, οὗ τῆς ἀνδρείας τε καὶ χρηστότητος ἔτι ταῖς ψυχαῖς ἡμῶν μνήμη ἐνέστακται, περιῆλθεν ἡ ἀρχή· οἱ δὲ οὐκ ἠνέχοντο, ἀλλὰ τοιοῦτον ἄνδρα φόνῳ ἀπεσκευάσαντο. τὴν δὲ γῆς καὶ θαλάττης τοσαύτην ἀρχὴν ὠνησάμενός τις αἰσχρῶς, πρός τε τοῦ δήμου (ὡς ἀκούετε) μεμίσηται, πρός τε τῶν ἐκεῖ στρατιωτῶν, οὓς ἐψεύσατο, οὐκ ἔτι πιστεύεται. ὧν, εἰ καὶ ἔμελλον ὑπὲρ αὐτοῦ παρατάξασθαι μετ᾽ εὐνοίας, καὶ πλήθει σύμπαντες, καὶ καθ᾽ ἕνα ἕκαστον ἐν ἀνδρείᾳ προὔχετε· ἀσκήσει τε πολεμικῶν ἐγγεγύμνασθε. ὑμεῖς μὲν ἀεὶ βαρβάροις ἀντιταττόμενοι, καὶ φέρειν πόνους πάντας πορείας, κρύους

τε καὶ θάλπους καταφρονεῖν, ποταμούς τε πηγνυμένους πατεῖν, καὶ πίνειν ὀρυττόμενον ἀλλ᾽ οὐκ ἀνιμώμενον ὕδωρ εἰθισμένοι, θήραις τε ἐγγεγύμνασθε. καὶ πάντως ὑμῖν εἰς ἀνδρείαν ὑπάρχει γενναῖα ἐφόδια. ὡς μηδὲ εἰ βουληθείη τις, δύνασθαι ὑμῖν ἀντιστῆναι. δοκίμιον δὲ στρατιωτῶν, κάματος, ἀλλ᾽ οὐ τρυφὴ, ἧπερ ἐκεῖνοι ἐκκραιπαλῶντές τε καὶ ἐναυξηθέντες, οὐδ᾽ ἂν τῆς βοῆς ὑμῶν ἀνάσχοιντο, οὔτιγε τῆς μάχης. Εἰ δὲ τινὲς τὰ κατὰ Συρίαν ὑποπτεύοιεν πράγματα, ἐντεῦθεν ἂν τεκμήραιντο ἀσθενῆ τε ὄντα, καὶ φαύλας ἔχοντα τὰς ἐλπίδας, ὅπου μηδὲ προελθεῖν τῆς αὐτῶν χώρας ἐτόλμησαν, μηδέ τι περὶ τῆς εἰς Ῥώμην ἀφόδου βουλεύσασθαι ἐθάῤῥησαν, ἀγαπητῶς ἐκεῖ μένοντες· καὶ ἐφήμερον τροφὴν, κέρδος τῆς οὔπω βεβαίας ἀρχῆς νομίζουσιν. ἐπὶ μὲν γὰρ τὸ χαριέντως καὶ μετὰ παιδιᾶς ἀποσκῶψαι ἐπιτήδειοι Σύροι, καὶ μάλιστα οἱ τὴν Ἀντιόχειαν οἰκοῦντες, φασὶ περὶ τὸν Νίγρον ἐσπουδακέναι. τὰ δ᾽ ἄλλα ἔθνη καὶ αἱ ἄλλαι πόλεις, μέχρι νῦν, τῷ μηδένα εὑρίσκεσθαι τὸν ἄξιον τῆς ἀρχῆς ἐσόμενον, σπάνει τοῦ μετὰ ἀνδρείας καὶ σώφρονος διοικήσεως ἄρξοντος, ἐκείνῳ δηλονότι προσποιοῦνται ὑπακούειν. εἰ δὲ τήν τε Ἰλλυρικὴν δύναμιν ἅμα χειροτονήσασαν μάθοιεν, τό, τε ἡμέτερον ὄνομα πύθοιντο, (οὐκ ἄγνωστον οὐδ᾽ ἄσημον παρ᾽ αὐτοῖς ὑπάρχον, ἐξ ὧν ἡγεμονεύσαντες ἐκεῖσε διῳκήσαμεν,) εὖ ἴστε, οὔτε ἐμοῦ ῥαθυμίαν ἢ ἀδρανίαν καταγνώσονται, οὔτε τὸ ὑμέτερον γενναῖον καὶ πρὸς τὰς μάχας ἐμβριθὲς ὑποστῆναι αἱρήσονται, καὶ σωμάτων μεγέθεσι καὶ πόνων ἀσκήσεσι καὶ ἐν τῇ συστάδην μάχῃ πολὺ ὑμῶν ἀπολιπόντες. Φθάσωμεν οὖν τὴν Ῥώμην προ-

προκαταλαβόντες, ἔνθα ἡ βασίλειος ἐστὶν ἑστία· κἀκεῖθεν ὁρμώμενοι, τὰ λοιπὰ εὐμαρῶς διοικήσομεν, θείαις τε προῤῥήσεσι πιστεύοντες, καὶ τῇ τῶν ὑμετέρων ἀνδρείᾳ ὅπλων τε καὶ σωμάτων. Τοιαῦτα εἰπόντα τὸν Σεβῆρον εὐφημήσαντες οἱ στρατιῶται, καλοῦντες Σεβαστὸν καὶ Περτίνακα, πᾶσαν ἐνεδείκνυντο προθυμίαν καὶ σπουδήν.

Ὁ δὲ Σεβῆρος, μηδένα διδοὺς καιρὸν ἀναβολῆς, συσκευάσασθαί τε αὐτοὺς ὡς ἔνι μάλιστα εὐτελέστατα ἐκέλευσε, τήν τε εἰς τὴν Ῥώμην ἔξοδον ἐπήγγειλε· νομάς τε αὐτοῖς διδοὺς καὶ ἐφόδια, τῆς ὁδοιπορίας εἴχετο, συντόνῳ δὲ σπουδῇ καὶ γενναίοις πόνοις τὴν ὁδὸν ἐπετάχυνε, μήτε που ἐπιδιατρίβων, μήτε διδοὺς καιρὸν ἀναπαύλης, εἰ μὴ τοσοῦτον, ὅσον ὀλίγον τοὺς στρατιώτας ἀναπνεύσαντας ἔχεσθαι τῆς ὁδοῦ. ἐκοινώνει δὲ τῶν καμάτων αὐτοῖς, σκηνῇ τε χρώμενος εὐτελεῖ, καὶ σιτία καὶ ποτὰ προσφερόμενος ὅσα καὶ πᾶσιν ὑπάρχειν ἠπίστατο· οὐδαμοῦ δὲ τρυφὴν ἐνεδείκνυτο βασιλικήν. ὅθεν καὶ μείζονα παρὰ τῶν συστρατιωτῶν εὔνοιαν ἐπιστώσατο. οὐ γὰρ μόνον αὐτὸν συμπονοῦντα, ἀλλὰ καὶ τῶν καμάτων ἄρχοντα οἱ στρατιῶται αἰδούμενοι, μετὰ προθυμίας πάντα ἔπραττον. ὁ δὲ, τὴν Παιονίαν διαδραμὼν, ἐπέστη τοῖς τῆς Ἰταλίας ὅροις· καὶ τὴν φήμην φθάσας, πρότερον ὤφθη τοῖς ἐκεῖσε παρὼν βασιλεὺς ἢ ἀφιξόμενος ἠκούσθη. δέος τε μέγα τὰς Ἰταλιώτιδας πόλεις κατελάμβανε, πυνθανομένας τοσαύτην ἔφοδον στρατοῦ. οἱ γὰρ κατὰ τὴν Ἰταλίαν ἄνθρωποι, ὅπλων καὶ πολέμων πάλαι ἀπηλλαγμένοι, γεωργίᾳ καὶ εἰρήνῃ προσεῖχον. Ἐς ὅσον μὲν γὰρ ὑπὸ δημοκρατίας τὰ Ῥωμαίων διῳκεῖτο,

κεῖτο, καὶ ἡ σύγκλητος ἐξέπεμπε τοὺς τὰ πολεμικὰ στρατηγήσαντας, ἐν ὅπλοις Ἰταλιῶται πάντες ἦσαν, καὶ γῆν καὶ θάλατταν ἐκτήσαντο, Ἕλλησι πολεμήσαντες καὶ βαρβάροις· οὐδέ τι ἦν γῆς μέρος, ἢ κλίμα οὐρανοῦ, ὅπου μὴ Ῥωμαῖοι τὴν ἀρχὴν ἐξέτειναν· ἐξ οὗ δὲ εἰς τὸν Σεβαστὸν περιῆλθεν ἡ μοναρχία, Ἰταλιώτας μὲν πόνων ἀνέπαυσε, καὶ τῶν ὅπλων ἐγύμνωσε, φρούρια δὲ καὶ στρατόπεδα τῆς ἀρχῆς προυβάλετο, μισθοφόρους ἐπὶ ῥητοῖς σιτηρεσίοις στρατιώτας καταστησάμενος, ἀντὶ τείχους τῆς Ῥωμαίων ἀρχῆς· ποταμῶν τε μεγέθεσι καὶ τάφρων, ἢ ὀρῶν προβλήμασιν, ἐρήμῳ τε γῇ καὶ δυσβάτῳ φράξας τὴν ἀρχὴν, ὠχυρώσατο. ὅθεν τὸν Σεβῆρον προσιόντα πυνθανόμενοι τότε μετὰ τοσούτου στρατοῦ, εἰκότως ἐταράττοντο τῷ ἀήθει τοῦ πράγματος. οὔτε δὲ ἀντιστῆναι ἢ κωλῦσαι ἐτόλμων. ὑπήντων δὲ δαφνηφοροῦντες, καὶ πύλαις ἀναπεπταμέναις ἐδέχοντο. ὁ δὲ τοσοῦτον ἀνεπαύετο ὅσον καλλιερῆσαί τε καὶ τοὺς δήμους προσειπεῖν· εἰς δὲ τὴν Ῥώμην ἠπείγετο. Ὡς δὲ ταῦτα τῷ Ἰουλιανῷ ἀπηγγέλλετο, ἐν ἐσχάτῃ ἀπογνώσει ἦν, τοῦ μὲν Ἰλλυρικοῦ στρατοῦ τὴν δύναμιν καὶ τὸ πλῆθος ἀκούων· οὔτε δὲ τῷ δήμῳ πιστεύων, ἐπεὶ μεμίσητο· οὔτε τοῖς στρατιώταις θαῤῥῶν, οὓς ἔψευστο. χρήματα δὴ πάντα ἀθροίζων τά τε αὐτοῦ καὶ παρὰ τῶν φίλων, καὶ εἴ τινα ἦν ἐκ δημοσίων ἱερῶν καὶ τόπων λαμβάνων, τοῖς στρατιώταις διανέμειν ἐπειρᾶτο, ὡς ἂν κτήσαιτο τὴν εὔνοιαν αὐτῶν. οἱ δὲ, καίτοι μεγάλα λαμβάνοντες, χάριν οὐκ ᾔδεσαν. ὄφλημα γὰρ αὐτὸν ἀποτίνειν, ἀλλ' οὐ δωρεὰν διανέμειν ἐλογίζοντο. Ὁ δὲ Ἰουλιανὸς,

καίτοι συμβελευόντων αὐτῷ τῶν φίλων ἐξαγαγεῖν τὸ στρατιωτικὸν, καὶ τὰ στενὰ τῶν Ἄλπεων προκαταλαβεῖν (μέγιστα ἐκεῖνα ὄρη, καὶ οἷα ἐκ ἄλλα ἐν τῇ καθ' ἡμᾶς γῇ, ἐν τείχες σχήματι περίκειται, καὶ προβέβληται Ἰταλίας· καὶ τῦτο μετὰ τῆς ἄλλης εὐδαιμονίας παρασχέσης τῆς φύσεως Ἰταλιώταις, ἔρυμα ἄῤῥηκτόν τε καὶ αὐτῶν προβεβλῆσθαι ἀπὸ τῆς ἀρκτώας θαλάσσης ἐπὶ τὴν μεσημβρίαν βλέπεσαν διῆκον) ἀλλ' ἐδὲ τῆς πόλεως προελθεῖν Ἰελιανὸς ἐτόλμα· διέπεμπέ τε, τῶν στρατιωτῶν δεόμενος ὁπλίζεσθαί τε καὶ γυμνάζεσθαι· πρὸ δὲ τῆς πόλεως τάφρες διορύττειν. καὶ τὴν πρὸς Σεβῆρον μάχην ὡς ἐν τῇ πόλει ποιησόμενος παρεσκεύαζε. τὲς τε ἐλέφαντας πάντας, ὃς εἰς πομπὴν ὑπηρετῶν ἐπὶ νώτων φέρειν ἐπειρᾶτο παιδεύειν. οἰόμενος ἕτως ἐκπλήξειν τές τε Ἰλλυρικὲς, καὶ τὴν τῶν πολεμίων ἵππον διαταράξειν ὄψει καὶ μεγέθει θηρίων μὴ πρότερον αὐτοῖς ἑωραμένων. τότε δὴ πᾶσα ἡ πόλις ὅπλα εἰργάζετο, καὶ τὰ πρὸς πόλεμον παρεσκευάζετο.

Μελλόντων δὲ τῶν Ἰελιανῦ στρατιωτῶν ἔτι, καὶ τὰ πρὸς πόλεμον ἕτοιμα ποιέντων, ἀγγέλλεται ὁ Σεβῆρος ἤδη προσιών. καὶ πολὺ τῦ στρατεύματος μέρος διασκεδάσας ἐκεῖνος, κελεύει παρεισδύεσθαι εἰς τὴν πόλιν. οἱ δὲ, κατὰ πάσας ὁδὲς διανείμαντες αὐτὲς· πολλοὶ δ' εἰς Ῥώμην νύκτωρ λανθάνοντες εἰσήεσαν, τὰ ὅπλα ἐπικρύπτοντες, ἐν ἰδιωτῶν σχήματι· καὶ ἤδη οἱ πολέμιοι ἔνδον ἦσαν, τῦ Ἰελιανῦ ἔτι ὑπτιάζοντος καὶ τὰ πραττόμενα ἀγνοῦντος. ἐπεὶ δὲ ταῦτα διάπυστα τῷ δήμῳ ἐγένετο, ἐν ταραχῇ πολλῇ πάντες ἦσαν· καὶ δεδιότες

τὴν

τὴν δύναμιν τοῦ Σεβήρου, τὰ ἐκείνου φρονεῖν προσεποιοῦντο, τοῦ μὲν Ἰουλιανοῦ καταγιγνώσκοντες ἀνανδρίαν, τοῦ δὲ Νίγρου, μέλλησίν τε καὶ ῥαθυμίαν· τὸν δὲ Σεβῆρον ἀκούοντες ἤδη παρόντα ἐθαύμαζον. Ὁ δὲ Ἰουλιανὸς, πολλῇ καταλαμβανόμενος ἀφασίᾳ τε καὶ ἀπορίᾳ, ὅπως χρήσεται τοῖς πράγμασιν οὐκ εἰδὼς, ἀθροισθῆναι κελεύσας τὴν σύγκλητον, καταπέμπει γράμματα, δι' ὧν ἐσπένδετο δὴ πρὸς τὸν Σεβῆρον, καὶ αὐτοκράτορα ἀναδείξας, κοινωνὸν τῆς βασιλείας ἐποιεῖτο. ἡ δὲ σύγκλητος ἐψηφίσατο μὲν ταῦτα, ὁρῶντες δὲ τὸν Ἰουλιανὸν ἀποδειλιῶντα καὶ ἐν ἀπογνώσει, τῷ Σεβήρῳ πάντες ἤδη προσετίθεντο. δύο δέ που ἢ τριῶν ἡμερῶν παραδραμουσῶν, ἐπείπερ ἤδη τὸν Σεβῆρον καὶ αὐτῇ τῇ πόλει ἐπιστησόμενον ἤκουον, καταφρονήσαντες τοῦ Ἰουλιανοῦ, συνίασιν εἰς τὸ συνέδριον, τῶν ὑπάτων κελευσάντων, οἳ τὰ τῆς Ῥώμης διοικεῖν εἰώθασιν, ὁπηνίκα ἂν τὰ τῆς βασιλείας μετέωρα ᾖ. συνελθόντες τοίνυν, περὶ τῶν πρακτέων ἐσκέπτοντο, τοῦ Ἰουλιανοῦ ἔτι ὄντος ἐν τῇ βασιλείῳ αὐλῇ, καὶ τὰς παρούσας ὀδυρομένου τύχας, ἱκετεύοντός τε ἐξομόσασθαι τὴν ἀρχὴν, καὶ παραχωρῆσαι πάσης τῆς δυναστείας τῷ Σεβήρῳ. Ὡς δὲ ἔμαθεν ἡ σύγκλητος τὸν Ἰουλιανὸν οὕτω καταπεπληχότα, τὴν δὲ δορυφόρον φρουρὰν διὰ δέος τοῦ Σεβήρου αὐτὸν ἐγκαταλιποῦσαν, ψηφίζεται τὸν μὲν ἀναιρεθῆναι, ἀποδειχθῆναι δὲ μόνον αὐτοκράτορα τὸν Σεβῆρον. πρεσβείαν τε πρὸς αὐτὸν ἐκπέμπουσιν ἀπὸ τῶν ἐν ἀρχαῖς ὄντων καὶ τῶν ἐξοχωτάτων τῆς βουλῆς, πάσας αὐτῷ προσφέρειν τὰς σεβασμίους τιμάς. ἐπὶ δὲ τὸν Ἰουλιανὸν εἷς τῶν χιλιαρ-

χουν-

χέντων ἀναπέμπεται, ἀποκτεῖναι ἄνανδρον καὶ ἄθλιον πρεσβύτην, ἰδίοις χρήμασιν ὠνησάμενον οὕτω πονηρὸν τέλος. ὁ μὲν οὖν εὑρεθεὶς ἔρημός τε καὶ ὑπὸ πάντων καταλειφθεὶς, αἰσχρῶς ὀλοφυρόμενος ἐφονεύθη.

Ἐπεὶ δὲ τὰ παρὰ τῆς συγκλήτου ἐδηλώθη τῷ Σεβήρῳ, ἥτε τοῦ Ἰουλιανοῦ ἀναίρεσις, ἤρθη εἰς μειζόνων πραγμάτων ἐλπίδα· καὶ σοφίσματι ἐχρήσατο ὡς ἂν χειρώσαιτο καὶ αἰχμαλώτους τοὺς τὸν Περτίνακα ἀνῃρηκότας λάβοι. ἐπιστέλλει δὲ καὶ ἰδίᾳ μὲν λανθάνοντα γράμματα, τοῖς τε χιλιάρχοις καὶ τοῖς ἑκατοντάρχοις ὑπισχνούμενος μεγάλα, ὅπως πείσειαν τοὺς ἐν τῇ Ῥώμῃ στρατιώτας ὑπακούειν εὐπειθῶς τοῖς ὑπὸ τοῦ Σεβήρου κελευομένοις. ἐκπέμπει δὲ καὶ δήλωσιν, δι' ἧς κελεύει τὰ μὲν ὅπλα αὐτοὺς καταλιπεῖν ἐν τῷ στρατοπέδῳ, πάντας δὲ ἐξελθεῖν εἰρηνικῷ σχήματι, ὥσπερ εἰώθασι θύοντος ἢ ἑορτάζοντος βασιλέως προπομπεύειν· ὀμόσαι τε εἰς τὸ Σεβήρου ὄνομα, καὶ μετ' ἀγαθῶν ἐλπίδων ἐλθεῖν, ὡς μέλλοντας τὸν Σεβῆρον δορυφορήσειν. Πιστεύσαντες δὴ οἱ στρατιῶται τοῖς ἐπεσταλμένοις, πεισθέντες τε ὑπὸ τῶν χιλιαρχούντων, τὰ μὲν ὅπλα κατέλιπον πάντα· αὐτοὶ δὲ ἐν μόναις ταῖς πομπικαῖς ἐσθῆσι δαφνηφοροῦντες ἠπείγοντο. ἐπεὶ δὲ πρὸς τῷ στρατοπέδῳ τοῦ Σεβήρου ἐγένοντο, ἠγγέλθησάν τε ἀφικόμενοι εἰς τὸ πεδίον, οὕτως αὐτοὺς ὁ Σεβῆρος συνελθεῖν κελεύει ὡς δὴ δεξιωσόμενος καὶ προσαγορεύσων. ὡς δὲ ἀνελθόντα αὐτὸν ἐπὶ τὸ βῆμα προσῆλθον ὁμοθυμαδὸν εὐφημήσοντες, πάντες ὑφ' ἑνὶ συνθήματι συλλαμβάνονται. προείρητο γὰρ τῷ τοῦ Σεβήρου στρατῷ,

ὁπηνίκα ἂν στῶσιν εἰς τὸν βασιλέα ἀποβλέποντες, μετέωρόν τε τὴν γνώμην ἔχοντες, κυκλώσασθαι αὐτοὺς πολεμίῳ νόμῳ, καὶ τιτρώσκειν μὲν ἢ παίειν μηδένα, συνέχειν δὲ καὶ φρουρεῖν φράξαντας ἐν κύκλῳ τοῖς ὅπλοις· τάς τε διαβολίας καὶ τὰ δόρατα ἐπισείειν, ὡς δέει τοῦ τρωθῆναι, γυμνοί τε πρὸς ὡπλισμένους καὶ ὀλίγοι πρὸς πολλοὺς μὴ μάχοιντο. ἐπεὶ δὲ αὐτοὺς ὥσπερ σαγηνεύσας ἐντὸς τῶν ὅπλων, δορυαλώτους εἶχε, μεγάλῃ βοῇ καὶ θυμοειδεῖ τῷ πνεύματι ἔλεξε πρὸς αὐτοὺς τοιάδε, Ὅτι μὲν ὑμῶν καὶ σοφίᾳ κρείττους ἐσμὲν, καὶ δυνάμει στρατοῦ, καὶ συμμάχων πλήθει, ἔργῳ ὁρᾶτε. εἴληφθε γοῦν ῥᾳδίως, καὶ ἀκοντί γε ἑαλώκατε· ἔστε δὲ ἐμοὶ ὅ, τι ποτ' ἂν ὑμᾶς δρᾶσαι θελήσω, καὶ πρόκεισθε ἤδη θύματα τῆς ἡμετέρας ἐξουσίας. εἰ μὲν οὖν ὑμεῖς πρὸς τὰ τετολμημένα τιμωρίαν ζητεῖτε, οὐδ' ἔστι, εὑρεῖν δίκην τὴν ἐπιτεθησομένην ἀξίαν τῶν πεπραγμένων. σεμνὸν πρεσβύτην καὶ βασιλέα χρηστὸν, ὃν ἐχρῆν σώζειν καὶ δορυφορεῖν, ἐφονεύσατε· τὴν Ῥωμαίων ἀρχὴν, ἔνδοξον οὖσαν ἀεὶ, ἣν καὶ οἱ πρόγονοι ἢ δι' ἀνδρείας ἐναρέτου ἐκτήσαντο, ἢ δι' εὐγένειαν διεδέξαντο, ταύτην αἰσχρῶς καὶ ἀτίμως, ὥσπέρ τι τῶν ἰδιωτικῶν κειμηλίων, ἐπ' ἀργυρίῳ κατηλλάξασθε. ἀλλ' οὐδ' αὐτὸν, ὃν οὕτως ἄρχοντα εἵλεσθε, φυλάξαι ἢ σῶσαι ἠδυνήθητε, ἀνάνδρως δὲ προυδώκατε. ἐπὶ τηλικούτοις δὴ ἁμαρτήμασί τε καὶ τολμήμασι μυρίων ἄξιοι θανάτων, ἥν τις ὁρίσαι θέλοι τὴν ἀξίαν τιμωρίαν, ἐστέ. ἀλλὰ τί μὲν χρὴ παθεῖν ὑμᾶς, ὁρᾶτε. ἐγὼ δὲ φείσομαι μὲν ὑμῶν, ὡς μὴ φονεῦσαι· οὔτε τὰς ὑμετέρας χεῖρας μιμήσομαι. ἐπεὶ δὴ μήτε ὅσιον, μήτε δίκαιον, ἔτι βατιλέα ὑμᾶς δορυφορεῖν, καὶ ἐς τὸν ὅρκον ἀσε-

βήσαν-

βήσαντας, καὶ ἐμφυλίῳ καὶ βασιλικῷ αἵματι τὰς δεξιὰς μιάναντας, τήν τε πίστιν καὶ τὸ ἐχέγγυον τῆς φρουρᾶς προδόντας· τὰς δὲ ψυχὰς καὶ τὰ σώματα, δῶρον τῆς ἐμῆς φιλανθρωπίας ἕξετε· τοῖς τε περιειληφόσιν ὑμᾶς στρατιώταις κελεύω ἀποζῶσαί τε ὑμᾶς, καὶ ἀποδύσαντας εἴ τινας περίκεισθε ἐσθῆτας στρατιωτικὰς, γυμνοὺς ἀποπέμπειν. παραγγέλλω τε ὑμῖν ἀπιέναι ὡς πορρωτάτω τῆς Ῥώμης. ἀπειλῶ καὶ διόμνυμαι καὶ προαγορεύω, κολασθήσεσθαι κεφαλικῶς, εἴ τις ὑμῶν ἐντὸς ἑκατοστοῦ σημείου ἀπὸ τῆς Ῥώμης φανείη. Ταῦτα κελεύσαντος αὐτοῦ, προσδραμόντες οἱ Ἰλλυρικοὶ στρατιῶται, τά τε ξιφίδια περιαιροῦσιν αὐτῶν ἃ παρῃώρηντο, τῷ ἀργυρείῳ καὶ τῷ χρυσῷ εἰς πομπὴν κεκοσμημένα· τάς τε ζώνας καὶ τὰς ἐσθῆτας, καὶ εἴ τι σύμβολον ἔφερον στρατιωτικὸν, ἀφαρπάσαντες, γυμνοὺς ἐξέπεμπον. οἱ δὲ ὑπεῖκον, προδεδομένοι, καὶ σοφίσματι ἑαλωκότες. τί γὰρ ἐνῆν δρᾶσαι γυμνοῖς πρὸς ὡπλισμένους, καὶ ὀλίγοις πρὸς πολλούς; ἀπῄεσαν δὴ ὀδυρόμενοι· καὶ ἠγάπων μὲν τὴν δοθεῖσαν σωτηρίαν, μετεγίγνωσκον δὲ ἐπὶ τῷ ἀνόπλως ἐλθεῖν, αἰσχρῶς καὶ ἐφυβρίστως ἑαλωκότες. Ἐκέχρητο δὲ καὶ ἄλλῳ ὁ Σεβῆρος σοφίσματι. δεδιὼς γὰρ μὴ ἄρα μετὰ τὸ ἀποζωσθῆναι, ἐν ἀπογνώσει γενόμενοι, ἀναδράμωσιν ἐπὶ τὸ στρατόπεδον, καὶ τὰ ὅπλα ἀναλάβωσι, προέπεμψε λογάδας ἐπιλέκτους, ὅσους γενναιοτάτους ἠπίστατο, δι' ἑτέρων ὁδῶν καὶ ἀτραπῶν· ὡς λαθόντες τό, τε στρατόπεδον ἐπεισέλθοιεν ἀνδρῶν κενὸν, καὶ τὰ ὅπλα καταλαβόντες, εἰ ἐπίοιεν, ἀποκλείσαιεν αὐτούς. δίκην μὲν δὴ ταύτην ἔδοσαν οἱ τοῦ Περτίνακος φονεῖς.

## Plautiani hiſtoria. (Lib. III. cap. 10-12.)

Κατορθώσας τὰ κατὰ τὴν ἀνατολὴν ὁ Σεβῆρος, εἰς τὴν Ῥώμην ἠπείγετο· ἄγων καὶ τοὺς παῖδας εἰς ἡλικίαν ἐφήβων ἤδη τελοῦντας. ἀνύσας δὲ τὴν ὁδοιπορίαν, τά τε ἐν τοῖς ἔθνεσι διοικήσας, ὡς ἑκάστῳ ἀπῄτει τὸ χρειῶδες, τά τε ἐν Μυσοῖς καὶ Παίοσι στρατόπεδα ἐπελθὼν, νικηφόρος ὑπὸ τοῦ Ῥωμαίων δήμου, μετὰ μεγάλης εὐφημίας τε καὶ θρησκείας ὑπεδέχθη· θυσίας τε καὶ ἑορτὰς, θέας τε καὶ πανηγύρεις τῷ δήμῳ παρέσχε. νομάς τε μεγαλόφρονας ἐπιδοὺς, καὶ θέας τελέσας ἐπινικίους, ἐτῶν οὐκ ὀλίγων ἐν τῇ Ῥώμῃ διέτριψε, δικάζων τε συνεχῶς καὶ τὰ πολιτικὰ διοικῶν, τούς τε υἱεῖς παιδεύων καὶ σωφρονίζων. οἱ δὲ ἤδη μειράκια ἦσην, ὑπὸ τῆς ἐν Ῥώμῃ τρυφῆς καὶ διαίτης, τῆς τε περὶ τὰ θεάματα ὑπερβαλλούσης σπουδῆς, ἡνιοχείας τε καὶ ὀρχήσεως, τὰ ἤθη διεφθείροντο. πρός τε ἀλλήλους ἐστασίαζον οἱ ἀδελφοὶ, τὰ πρῶτα μὲν ὑπὸ παιδαριώδους φιλονεικίας, δι' ὀρτύγων μάχας καὶ ἀλεκτρυόνων συμβολὰς, πάλας τε παίδων, ἀλλήλοις ἐρίζοντες. ἥτε περὶ τὰ θεάματα αὐτῶν ἢ τὰ ἀκροάματα σπουδὴ, φιλονείκως ἑκάστοτε ἐμερίζετο. καὶ οὐδενὶ ἀμφότεροι ὁμοίως ἠρέσκοντο, ἀλλὰ πᾶν τὸ τῷ ἑτέρῳ φίλον, τῷ ἄλλῳ ἐχθρὸν ἦν. συνέκρουον δὲ αὐτοὺς ἑκατέρωθεν οἵτε κόλακες καὶ οἱ θεράποντες, πρὸς τὸ ἡδὺ τῆς ἡλικίας κολακεύοντες, καὶ ἀνθέλκοντες. ὁ δὲ Σεβῆρος ταῦτα πυνθανόμενος, συνάγειν τε καὶ σωφρονίζειν τὰ πρῶτα ἐπειρᾶτο. Τὸν δὲ πρεσβύτερον, ᾧ γνήσιον μὲν ἦν ὄνομα Βασσιανὸς, πρὶν εἰς τὸν βασίλειον οἶκον παρελθεῖν, ὅτε δὴ τὴν τῆς ἀρχῆς τιμὴν εὐτύχησε Σεβῆρος, Ἀντωνῖνον ὠνόμασε, Μάρκου θελή-



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

λήσας αὐτὸν προσηγορίαν φέρειν. ἠγάγετό τε αὐτῷ γυναῖκα, γάμῳ σωφρονίσαι θέλων. ἦν δὲ ἐκείνη θυγάτηρ τοῦ ἐπάρχοντος τῶν στρατοπέδων· Πλαυτιανὸς δὲ ἦν ὄνομα αὐτῷ. τοῦτον τὰ μὲν πρῶτα τῆς ἡλικίας, εὐτελῆ τινὲς αὐτὸν καὶ πεφυγαδεῦσθαι ἔλεγον, ἁλόντα ἐπὶ στάσεσι καὶ πολλοῖς ἁμαρτήμασιν· ὄντα δὲ πολίτην ἑαυτοῦ (Λίβυς γὰρ κἀκεῖνος ἦν) ὡς μὲν τινὲς ἔλεγον, πρὸς γένος αὐτῷ ὑπάρχοντα· ὡς δὲ ἕτεροι διέβαλλον, ἀκμαζούσῃ τῇ ἡλικίᾳ γενόμενον παιδικά. πλὴν ἀλλ' ὁ Σεβῆρος ἐκ μικρᾶς καὶ εὐτελοῦς τύχης εἰς μεγάλην προήγαγεν ἐξουσίαν, πλούτῳ τε ὑπερβάλλοντι ἐκόσμησε, τῶν ἀναιρουμένων χαριζόμενος τὰς οὐσίας· οὐδὲν ἕτερον ἀλλ' ἢ μερισάμενος πρὸς αὐτὸν τὴν ἀρχήν. ᾗπερ ἐκεῖνος ἀποχρώμενος, οὔτε ὠμότητος, οὔτε βίας ἐν πᾶσιν οἷς ἔπραττεν ἀπείχετο, φοβερώτερος τῶν πώποτε ἀρχόντων γενόμενος. τούτου τὴν θυγατέρα ὁ Σεβῆρος ζεύξας τῷ υἱῷ, τὸν οἶκον ἥνωσεν. ὁ δὲ Ἀντωνῖνος, οὐ πάνυ τι ἡδόμενος τῷ γάμῳ, ἀνάγκῃ δὲ μᾶλλον ἢ προαιρέσει συνεζευγμένος, ἀπεχθῶς πάνυ πρὸς τὴν κόρην διέκειτο, καὶ πρὸς τὸν πατέρα αὐτῆς, ὡς μήτε εὐνῆς μήτε ἑστίας κοινωνεῖν, μυσάττεσθαί τε τὴν κόρην· ἀλλ' ἦν τε ἑκάστοτε ἀποκτενεῖν καὶ αὐτὴν καὶ τὸν πατέρα, ἐπὰν τῆς ἀρχῆς ἐγκρατὴς γένηται μόνος. ταῦτα δὴ ἡ κόρη ἑκάστοτε ἀπήγγελλε τῷ πατρί· καὶ τοῦ γάμου τὸ μῖσος διηγουμένη, παρώξυνεν αὐτόν.

Ὁ δὲ Πλαυτιανὸς, ὁρῶν τὸν μὲν Σεβῆρον πρεσβύτην τε ἤδη, καὶ συνεχῶς ὑπὸ νόσου ἐνοχλούμενον, τὸν δὲ Ἀντωνῖνον, ἐμβριθῆ καὶ θρασὺν νεανίαν, δεδιώς τε αὐτοῦ τὰς ἀπειλὰς, δρᾶσαί τι

μᾶλλον, φθάσας, ἢ παθεῖν, ἀναμείνας, ἠθέλησεν. ἔτι τε αὐτὸν καὶ πολλὰ ἦν τὰ πρὸς βασιλείας ἐπιθυμίαν ἀναπείθοντα· πλούτου τε περιβολὴ, ἣ μὴ πρότερον τινὶ ἰδιωτεύοντι ἐγένετο, στρατιωτῶν τε θεραπεῖαι, τιμαί τε αἱ παρὰ τῶν ἀρχομένων· σχῆμά τε ᾧ προήει. ἠμφίεστο γὰρ τήν τε πλατύσημον ἐσθῆτα, ἔν τε τοῖς δευτέροις ὑπατεύσασιν ἐτέτακτο. παρῃώρητό τε αὐτῷ ξίφος, καὶ παντὸς ἀξιώματος σχῆμα ἔφερε μόνος. προϊὼν δὲ φοβερὸς ἦν, ὡς μήτε τινὰ προσιέναι, ἀλλὰ καὶ τοὺς ὑπαντωμένους ἀναστρέφειν. οἵ τε προϊόντες αὐτοῦ, ἐκήρυττον μηδένα παρεστάναι, μηδ᾽ εἰς αὐτὸν βλέπειν, ἀλλ᾽ ἀποστρέφεσθαι καὶ κάτω βλέπειν· οἷσπερ καὶ ὁ Σεβῆρος ἀγγελλομένοις οὐ πάνυ τι ἠρέσκετο, ἀλλ᾽ ἀπεχθὴς ἤδη καὶ βαρὺς κἀκείνῳ ἐγένετο· ὡς καὶ περιελεῖν τινὰ αὐτοῦ τῆς ἐξουσίας τὸν Σεβῆρον, καὶ πεῖσαι κωλύειν τὸ ὑπερβάλλον τῆς ἀλαζονείας. Ἃ δὴ μὴ φέρων ὁ Πλαυτιανὸς, ἐτόλμησεν ἐπιβουλεῦσαι τῇ ἀρχῇ· καὶ μηχανᾶται τοιάδε· Σατορνῖνος ἦν εἷς τῶν ὑπ᾽ αὐτῷ χιλιαρχούντων· οὗτος ὑπερβαλλόντως τὸν Πλαυτιανὸν ἐθεράπευε· καὶ πάντων μὲν τοῦτο ποιούντων, ἐκεῖνος δὲ πλείονι θρησκείᾳ ᾠκείωτο αὐτόν. τοῦτον πιστότατον ἡγούμενος, καὶ ἀπορρήτους μόνον οἷόν τε φυλάξαι καὶ πληρῶσαι ἐντολὰς, περὶ δείλην μεταπεμψάμενος, πάντων ἀνακεχωρηκότων, Νῦν σοι καιρὸς (ἔφη) τέλος γενναῖον ἐπιθεῖναι εὐνοίᾳ τε καὶ ὑπηρεσίᾳ ἣν πρός με ἐπεδείξω· ἐμοί τε, ἀμείψασθαί σε κατ᾽ ἀξίαν, καὶ τὴν προσήκουσαν χάριν ἀποδοῦναι· πρόκειται δέ σοι αἵρεσις, ἢ τοῦ εἶναι ὅπερ ἐμὲ νῦν ὁρᾷς ὄντα, καὶ τήνδε τὴν ἐξουσίαν παραλαβεῖν, διαδεξάμενόν με· ἢ τεθνάναι αὐτίκα, ἀπειθείας ὑπο-



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

χόντα τιμωρίαν. μηδέ σε τοῦ ἔργου τὸ μέγεθος ἐκπληττέτω, μηδὲ τὸ τῶν βασιλέων ὄνομα ταραττέτω. εἰσιέναι τε γὰρ μέχρι τοῦ δωματίου, ἔνθα ἀναπαύονται, δύνασαι μόνος, ἅτε τὴν νυκτερινὴν φρουρὰν ἐκ περιόδου ἐγκεχειρισμένος. ὅ, τι δ᾽ ἂν μέλλοις πράττειν, λανθάνων, ἀκωλύτως τέλος ἕξεις. ἐπεὶ μήτ᾽ ἐμὲ ἔτι τοιαῦτα κελεῦσαι προσδόκα, μήτε σὲ ὑπακοῦσαι. ἄνελθε δὴ εἰς τὴν βασίλειον αὐλήν. καὶ ὡς τινὰς ἀγγελίας ἐπειγούσας καὶ ἀποῤῥήτους παρ᾽ ἐμοῦ φέρων, ἐπεισελθὼν αὐτοῖς ἀπόκτεινον. ἀνὴρ δὲ γενναῖος γένου, ῥαδίως κατεργασάμενος πρεσβύτην τε καὶ παιδάριον. μεταχὼν γὰρ τὸ μέρος τῶν κινδύνων, μεθέξεις καὶ τῶν μεγίστων τῆς κατορθώσεως τιμῶν. Ταῦτα ἀκούσας ὁ χιλίαρχης, ἐξεπλάγη μὲν τὴν ψυχὴν, οὐκ ἐταράχθη δὲ τὴν γνώμην· ἀλλ᾽ ἅτε ἀνὴρ οὐκ ἔξω φρενῶν καθεστὼς, (καὶ γὰρ ἦν τοῦ γένει Σύρος· δριμύτεροι δ᾽ ὡς πρὸς τὰς ἐννοίας οἱ ὑπὸ τὴν ἀνατολὴν ἄνθρωποι) τὸν θυμὸν ὁρῶν ἐνθουσιῶντα τοῦ κελεύοντος, καὶ τὴν ἐξουσίαν εἰδὼς, οὐκ ἀντεῖπεν, ὡς μὴ παρ᾽ αὐτὰ κολασθείη· προσποιησάμενος δὲ εὐκταῖα καὶ ἀσπαστὰ ἀκούειν, προσκυνήσας τε ὡς ἤδη βασιλέα, γραμματεῖον ᾔτησε τοῦ φόνου φέρον τὰς ἐντολάς. (ἔθος γὰρ τοῦτο τυραννικὸν, εἴ τινα ἐκπέμποιεν ἐπὶ φόνον ἄκριτον, ἐντέλλεσθαι τοῦτο διὰ γραμμάτων· ἵνα μὴ, γιγνόμενον, ᾖ ἀκατασήμαντον.) ὁ δὲ Πλαυτιανὸς, τυφλώττων τῇ ἐπιθυμίᾳ, δίδωσιν αὐτῷ τὸ γραμματεῖον, καὶ ἐκπέμπει ἐπὶ τὸν φόνον, ἐντειλάμενος, ἐπὰν ἀμφοτέρους διαχρήσηται, πρὶν διαβόητον γενέσθαι τὸ πραχθὲν, πέμψαι τοὺς καλέσοντας αὐτόν· ἵνα ὀφθῇ πρῶτον ἐν τοῖς βασιλείοις ἢ ἀκουσθῇ τὴν βασιλείαν παραλαβών.

Ἐπὶ ταύταις δὴ ταῖς συνθήκαις ἀνελθὼν ὁ χιλιάρχης, εἰσῆλθε μὲν διὰ πάσης τῆς βασιλικῆς οἰκίας κατὰ τὸ ἔθος, ἀκωλύτως. εἰδὼς δὲ ἀδύνατον ὂν δύο διαχειρίζεσθαι βασιλέας, καὶ ταῦτα ἐν διαφόροις οἴκοις διατρίβοντας, ἐπιστὰς τῷ δωματίῳ τοῦ Σεβήρου, καλέσας τοὺς τοῦ βασιλικοῦ θαλάμου φύλακας, ἠξίωσεν εἰσαχθῆναι εἰς αὐτὸν, ὡς δὴ ὑπὲρ σωτηρίας αὐτῷ τινὰ ἀγγέλλων· οἱ δὲ, δηλώσαντες τῷ Σεβήρῳ, καὶ κελεύσαντος αὐτοῦ, τὸν χιλίαρχον εἰσήγαγον. ὁ δὲ εἰσελθὼν, Ἥκω σοὶ (ἔφη) ὦ δέσποτα, ὡς μὲν ὁ πέμψας οἴεται, φονεὺς καὶ δήμιος· ὡς δ' αὐτὸς εὔχομαί τε καὶ βούλομαι, σωτήρ τε καὶ εὐεργέτης. Πλαυτιανὸς γὰρ ἐπιβουλεύων τῇ ἀρχῇ, ἐνετείλατό μοι φόνον σοῦ τε καὶ τοῦ παιδός· καὶ τοῦτο οὐ λόγοις μόνον, ἀλλὰ καὶ γράμμασι· καὶ μαρτυρεῖ τὸ γραμματεῖον. ἐγὼ δὲ ὑπεσχόμην μὲν, ὅπως μὴ, ἐμοῦ τὸ ἔργον παραιτησαμένου, ἄλλῳ ἐγχειρισθῇ. σοὶ δὲ ταῦτα δηλώσων ἥκω, ὡς ἂν μὴ λάθοι τὰ τολμώμενα. Τοιαῦτά τινα λέγοντος αὐτοῦ καὶ δακρύοντος, οὐκ εὐθέως ὁ Σεβῆρος ἐπίστευσεν· ἀλλ' ἅτε πολὺ ἔχων ἐν τοῖς στέρνοις τὸ Πλαυτιανοῦ φίλτρον, συσκευήν τινα καὶ σκηνὴν τὸ πρᾶγμα ὑπώπτευεν, ἡγεῖτό τε τὸν υἱὸν αὐτοῦ, ἔχθει τῷ Πλαυτιανοῦ, καὶ μίσει τῆς ἐκείνου θυγατρὸς, εὑρηκέναι τινὰ τέχνην κατ' αὐτοῦ, καὶ διαβολὴν θανατηφόρον. μεταπεμψάμενος δὲ τὸν υἱὸν ᾐτιᾶτο ὡς τοιαῦτα κατασκευάζοντα κατὰ ἀνδρὸς εὔνου καὶ οἰκείου. ὁ δὲ Ἀντωνῖνος τὰ μὲν πρῶτα ἀπώμνυτο, μηδ' εἰδέναι φάσκων τὰ λεγόμενα. ἐγκειμένου δὲ τοῦ χιλιάρχου, καὶ τὸ γραμματεῖον δεικνύντος παρεθάρσυνέ τε αὐτὸν, καὶ προὔτρεπεν εἰς τοὺς ἐλέγχους ὁ Ἀντωνῖνος. ὁ δὲ χιλιάρχης, ὁρῶν

ἐς

ἐς ὅσον ἥκει κινδύνου, δεδιώς τε τὴν πρὸς τὸν Πλαυτιανὸν τοῦ Σεβήρου εὔνοιαν, ἐπιστάμενος ὡς εἰ λάθοι ἡ ἐπιβουλὴ, καὶ μὴ ἐλεγχθείη, ὄλεθρος αὐτῷ οὐχ ὁ τυχὼν ἐπήρτηται, Καὶ τίνα (ἔφη) ὦ δέσποτα, ἔλεγχον μείζονα βούλεσθε, ἢ ποίαν ἀπόδειξιν φανερωτέραν; ἐπιτρέψατε γάρ δή μοι (ἔφη) προελθόντι τῶν βασιλείων, διά τινος τῶν ἐμοὶ πιστῶν δηλῶσαι, ὅτι δὴ τὸ ἔργον κατείργασται. ὁ δὲ ἀφίξεται πιστεύσας, καὶ οἰόμενος ἔρημα τὰ βασίλεια καταλήψεσθαι. ὅταν δὲ ἀφίκηται, ἡμέτερον ἤδη ἔργον εὑρεῖν τὴν ἀλήθειαν. ἡσυχίαν δὲ εἶναι πολλὴν ἀνὰ τὰ βασίλεια κελεύσατε· ὅπως τὸ πραττόμενον μὴ προγνωσθὲν ἀνατραπῇ. Ταῦτα εἰπὼν, ἐντέλλεται τινὶ τῶν πιστοτάτων ἑαυτῷ ἀγγεῖλαι Πλαυτιανῷ ἥκειν τὴν ταχίστην. κεῖσθαι γὰρ ἀμφοτέρους τοὺς βασιλέας, καὶ δεῖν αὐτὸν ἔνδον εἶναι, πρὶν ἔκπυστα τῷ δήμῳ γενέσθαι· ὡς ἂν τῆς ἀκροπόλεως κατειλημμένης, καὶ τῆς βασιλείας ἱδρυμένης, ἑκόντες τε καὶ ἄκοντες πάντες ὑπακούοιεν οὐκ ἐσομένῳ βασιλεῖ, ἀλλ' ἤδη ὄντι. τούτοις πιστεύσας ὁ Πλαυτιανὸς ἤδη περὶ δείλην ἑσπέραν, ἀρθεὶς ταῖς ἐλπίσι, θώρακα μὲν ἀμφιέννυται, τῆς τοῦ σώματος ἀσφαλείας χάριν· κρύψας δὲ αὐτὸν τῇ λοιπῇ ἐσθῆτι, ἐπιβὰς ὀχήματος, αἰφνιδίως εἰς τὰ βασίλεια ἠπείγετο, ὀλίγων αὐτὸν παραπεμπόντων· οἳ παρῆσαν, οἰόμενοι κεκλῆσθαι ὑπὸ τῶν βασιλέων διά τινα ἐπείξαντα. ὡς δὲ ἐπέστη τῇ βασιλείῳ αὐλῇ, ἀκωλύτως τε εἰσῆλθεν, ἀγνοούντων τὸ πραττόμενον τῶν φυλάκων· ὑπαντώμενος δ' ὁ χιλίαρχος ἐνεδρεύων τε προσεῖπεν αὐτοκράτορα, καὶ δῆθεν συνήθως λαβόμενος τῆς χειρὸς, εἰς τὸ δωμάτιον εἰσήγαγεν, ἔνθα ἔφασκεν ἐρρῖφθαι τὰ τῶν βασιλέων σώματα, ἤδη δὲ παρ-

εσκευάκει ὁ Σεβῆρος νεανίας τῶν περὶ αὐτὸν σωματοφυλάκων, οἳ συλλήψονται αὐτὸν εἰσελθόντα. ὁ δὲ Πλαυτιανὸς ἐφ' ἑτέραις ἐσελθὼν ἐλπίσιν, ὁρᾷ τοὺς βασιλέας ἀμφοτέρους ἐφεστῶτας· συλληφθείς τε κατείχετο, ἐκπλαγείς τε τῷ πράγματι ἐδεῖτο καὶ ἐλιπάρει. ἀπελογεῖτό τε, πάντα φάσκων ψευδῆ εἶναι, καὶ συσκευὴν κατ' αὐτοῦ καὶ δρᾶμα ἐσκευάσθαι. πολλὰς δὲ τοῦ μὲν Σεβήρου ὀνειδίζοντος εὐεργεσίας τε καὶ τιμὰς, τοῦ δὲ πίστεώς τε καὶ εὐνοίας τῆς ἄνωθεν ὑπομιμνήσκοντος, ἠρέμα πως ὁ Σεβῆρος ἠπείγετο πειθοῖ τῶν ὑπὸ τοῦ Πλαυτιανοῦ λεγομένων· ἔς τε δὴ ὑπεφάνη τοῦ θώρακος μέρος, καταῤῥαχθείσης τῆς ἐπ' αὐτῷ ἐσθῆτος. ὅπερ ἰδὼν ὁ Ἀντωνῖνος, νέος θρασὺς θυμοειδής τε καὶ φύσει μισῶν τὸν ἄνθρωπον, Ἀλλὰ πρὸς δύο (ἔφη) ταῦτα τί ἂν ἀποκρίναιο; ἥκεις πρὸς βασιλέας ἑσπέρας, μὴ κελεύσαντας; ὁ δὲ θώραξ σοὶ τί βούλεται; τίς γὰρ εἰς ἑστίασιν ἢ κῶμον ὡπλισμένος ἔρχεται; Καὶ ταῦτα εἰπὼν, κελεύει τῷ χιλιάρχῳ τοῖς τε παροῦσι, σπασαμένοις τὰ ξίφη, φονεῦσαι τὸν ἄνδρα, ὡς ὁμολογουμένως πολέμιον. οἱ δὲ, μὴ μελλήσαντες, κελεύσαντι τῷ νέῳ βασιλεῖ πείθονται· ἀναιροῦσί τε αὐτὸν, καὶ τὸ σῶμα ῥίπτουσιν εἰς τὴν λεωφόρον, ὡς ἂν πᾶσι φανερὸν γένοιτο, καὶ ὑπὸ μισούντων ὑβρισθείη. τούτῳ μὲν δὴ τῷ τέλει Πλαυτιανὸς ἐχρήσατο, ἀπλήστῳ τε ζήσας πάντων ἐπιθυμίᾳ, καὶ χρησάμενος ἐν τῷ τέλει ἀπλήστῳ ὑπηρεσίᾳ.

## Oratio Macrini ad convocatum Romanorum exercitum post caedem Antonini Imperatoris habita. (L. IV. c. 14.)

Τελευτήσαντος τοῦ Ἀντωνίνου, ἐν ἀφασίᾳ τε ἦν ὁ στρατὸς καὶ ἀπορίᾳ τοῦ πρακτέου. ἔμει-

νον

νὰν τε ἡμέρας δύο ἀβασίλευτοι, ἐζήτουν τε ὃν ἐπιλέξονται ἄρχοντα. καὶ γὰρ ἠγγέλλετο μετὰ πολλοῦ πλήθους καὶ δυνάμεως ἐπιὼν Ἀρτάβανος, δίκας ἀπαιτήσων, τιμωρήσων τε τοῖς ἐν σπονδαῖς καὶ εἰρήνῃ ἀνῃρημένοις. αἱροῦνται δὴ βασιλέα, πρῶτον μὲν, Αὔδεντον, ὡς στρατιωτικόν τε καὶ ἔπαρχον οὐ φαῦλον γενόμενον· (ὁ δὲ γῆρας προϊσχόμενος παρῃτήσατο·) μετ' ἐκεῖνον δὲ, τὸν Μακρῖνον, πειθόντων αὐτοὺς χιλιάρχων, οἳ καὶ τῆς ἐπιβουλῆς τοῦ Ἀντωνίνου συνωμόται καὶ κοινωνοὶ τοῦ Μακρίνου γεγενῆσθαι ὑπωπτεύθησαν μετὰ τὴν ἐκείνου τελευτὴν, ὡς ἐν τοῖς ἑξῆς ἐροῦμεν. Παρέλαβε δὲ τὴν βασιλείαν Μακρῖνος, οὐχ οὕτως εὐνοίᾳ καὶ πίστει τῶν στρατιωτῶν, ὡς ἀνάγκῃ, καὶ χρείᾳ τοῦ παρόντος καιροῦ. τούτων δὲ πραττομένων, ἐφίσταται ὁ Ἀρτάβανος μετὰ μεγίστου πλήθους καὶ δυνάμεως, ἵππον τε πολλὴν ἄγων καὶ τοξοτῶν μέγα τι πλῆθος, καταφράκτους τε ἀπὸ καμήλων ἔξωθεν μακροῖς δόρασιν. ὡς δ' ἀπηγγέλη προσιὼν, συγκαλέσας τοὺς στρατιώτας ὁ Μακρῖνος ἔλεξε τοιάδε, „Ἀλγεῖν μὲν „ὑμᾶς πάντας ἐπὶ τοιούτου βασιλέως, ἢ (ἵνα τἀλη„θῆ λέγοιμι) στρατιώτου ἀποβολῇ, θαυμαστὸν οὐδέν. „Φέρειν δὲ τὰς συμφορὰς, καὶ τὰ προσπίπτοντα με„τρίως ὑπομένειν, ἀνθρώπων ἔργον σωφρονούντων. ἡ „μὲν γὰρ ἐκείνου μνήμη ἔν τε τοῖς ἡμετέροις στέρνοις „ἐγκείσεται, τοῖς τε εἰς ὕστερον παραδοθήσεται, „καὶ δόξαν ἀΐδιον φέρουσα, μεγάλων τε καὶ γενναίων „ἔργων ὧν ἔδρασε, φίλτρων τε καὶ εὐνοίας, καμά„των τε κοινωνίας τῆς πρὸς ὑμᾶς. νῦν δὴ καιρὸς, τιμή„σαντας ὡς χρὴ τὴν μνήμην τοῦ τετελευτηκότος, ἀ„φοσιωσαμένους τε τὰ πρὸς ἐκεῖνον, ἔχεσθαι τῶν ἐπει„γόντων. ὁρᾶτε τὸν βάρβαρον ἐφεστῶτα σὺν παντὶ

τῷ

„τῷ τῆς ἀνατολῆς πλήθει, καὶ δοκοῦντα πρόφασιν „εὔλογον ἔχειν ἔχθρας. ἡμεῖς γὰρ αὐτὸν προκαλεσάμεθα παρασπονδήσαντες, καὶ ἐν εἰρήνῃ βαθείᾳ πόλεμον ἠγείραμεν. ἤρτηται δὲ νῦν πᾶσα ἡ „Ῥωμαίων ἀρχὴ τῆς ὑμετέρας ἀνδρείας τε καὶ πίστεως. οὐ γὰρ περὶ ὅρων γῆς οὐδὲ ῥείθρων ποταμῶν „ἡ φιλονεικία, περὶ τοῦ παντὸς δὲ, πρὸς μέγαν „βασιλέα, ὑπὲρ παίδων καὶ συγγενῶν, οὓς ἐκεῖνος „ἀδίκως καὶ παρὰ τοὺς ὅρκους οἴεται ἀνῃρῆσθαι. τά „τε οὖν ὅπλα λαμβάνωμεν, καὶ τῇ συνήθει Ῥωμαίοις εὐκοσμίᾳ ταττώμεθα. ἐν γὰρ ταῖς παρατάξεσι, τὸ μὲν τῶν βαρβάρων ἄτακτον πλῆθος „καὶ προσκαίρως ὡρισμένον, αὐτὸ ἑαυτῷ ἴσως γένοιτ' „ἂν ἐναντίον· τὸ δ' ὑμέτερον, εὔτακτόν τε ὂν καὶ „συγκεκροτημένον, μετά τε ἐμπειρίας μαχόμενον, „ὑμῖν τε ἔσται σωτήριον, κἀκείνοις ὀλέθριον. μετ' „ἀγαθῆς οὖν τῆς ἐλπίδος ἀγωνίζεσθε, ὡς Ῥωμαίοις „πρέπει καὶ σύνηθες. οὕτω γὰρ τούς τε βαρβάρους ἀπώσεσθε ὑμεῖς, καὶ δόξης κλέος ἀράμενοι „μέγα, Ῥωμαίοις τε καὶ πᾶσιν ἀνθρώποις δείξετε, „τήν τε προτέραν νίκην πιστώσεσθε, ὡς μὴ δόλῳ καὶ „ἀπάτῃ παρασπονδήσαντες ἠδικήσατε, ἀλλὰ δι' „ὅπλων νικήσαντες ἐκρατήσατε.“

## Macrini ad Senatum Populumque Romanum epistola. (L. V. c. I.)

Εὖ εἰδόσι μὲν ὑμῖν τοῦ τε βίου μου τὴν ἐξ ἀρχῆς προαίρεσιν, τοῦ τε τρόπου τὸ πρὸς χρηστότητα ἐπιῤῥεπὲς, καὶ τὸ πρᾶον τῆς διοικηθείσης πρότερον πράξεως, οὐ πολύ τι ἐξουσίας καὶ δυνάμεω βασιλικῆς ἀποδεούσης, (ὅπουγε καὶ αὐτὸς ὁ βασιλεὺς τοῖς ἐπάρχουσι τῶν στρατοπέδων πεπίστευται,) περιτ-

ριστὸν νομίζω μακρηγορεῖν. ἴσε γάρ με καὶ οἷς ἐκεῖνος ἔπραττεν οὐκ ἀρεσκόμενον, καὶ προκινδυνεύσαντα ὑμῶν, ἐν οἷς πολλάκις ταῖς τυχούσαις διαβολαῖς πιςεύων, ἀφειδῶς ὑμῖν προσεφέρετο. κἀμὲ μὲν κακῶς ἠγόρευε, καὶ δημοσίᾳ πολλάκις τὸ μέτριόν μου καὶ πρὸς τοὺς ἀρχομένους φιλάνθρωπον διαβάλλων, καὶ διασκώπτων εἰς ῥαθυμίαν καὶ τρόπων χαυνότητα· κολακείαις δὲ χαίρων, καὶ τοὺς εἰς ὠμότητα παροξύνοντας, τῷ τε θυμῷ τὸ ἐνδόσιμον αὐτοῦ διδόντας, τήν τε ὀργὴν διαβολαῖς ἐγείροντας, εὔνους καὶ πιςοὺς ἐδοκίμαζε φίλους. ἐμοὶ δὲ ἐξ ἀρχῆς τὸ πρᾶον καὶ μέτριον προσφιλές. τὸν γοῦν πρὸς Παρθυαίους πόλεμον, μέγιςόν τε ὄντα καὶ ἐφ᾽ ᾧ πᾶσα Ῥωμαίων ἐσάλευεν ἀρχὴ, κατελύσαμεν· καὶ ἐν οἷς ἀνδρείως παραταξάμενοι, οὐδέν τι ἡττήμεθα, καὶ ἐν οἷς σπείσαντες μετὰ πολλῆς δυνάμεως ἐλθόντα μέγαν βασιλέα, πιςὸν φίλον ἀντ᾽ ἐχθροῦ δυσμάχου ἐποιήσαμεν. ἐμοῦ δὲ κρατοῦντος, ἐν ἀδείᾳ τε καὶ ἀναιμωτὶ πάντες βιώσονται· ἀριςοκρατία τε μᾶλλον ἢ βασιλεία νομισθήσεται. μηδέ τις ἀπαξιούτω, ἢ τύχης πταῖσμα νομιζέτω, ὅτι δὴ ὄντα με ἐκ τῆς ἱππάδος τάξεως, ἐπὶ τοῦτο ἤγαγε. τί γὰρ ὄφελος εὐγενείας, εἰ μὴ χρηςὸς καὶ φιλάνθρωπος συνοικεῖ τρόπος; τὰ μὲν γὰρ τῆς τύχης δῶρα καὶ ἀναξίοις περιπίπτει· ἡ δὲ τῆς ψυχῆς ἀρετὴ ἰδίαν ἑκάςῳ δόξαν περιτίθησιν. εὐγένεια δὲ καὶ πλοῦτος καὶ ὅσα τοιαῦτα, μακαρίζεται μὲν, οὐκ ἐπαινεῖται δὲ, ὡς παρ᾽ ἄλλου δοθέντα· ἐπιείκεια δὲ καὶ χρηςότης, ἅμα τῷ θαυμάζεσθαι, καὶ τῶν ἐπαίνων τὴν ἀναφορὰν εἰς αὐτόν τινα ἔχει τὸν κατορθοῦντα. τί γοῦν ὑμᾶς ὤνησεν ἡ Κομμόδου εὐγένεια, ἢ Ἀντωνίνου ἡ πατρῴα διαδοχή; οἱ μὲν γὰρ ὥσπερ ὄφλημα κληρονομίας εἰληφότες, ἀποχρῶν-

ταί τε καὶ ἐνυβρίζουσιν, ὡς ἄνωθεν ἰδίῳ κτήματι· οἱ δὲ παρ᾿ ὑμῶν λαβόντες, χάριτός τε ἀϊδίου εἰσὶ χρεῶσται, καὶ πειρῶνται ἀμείψασθαι τοὺς εὐεργεσίαις προειληφότας. καὶ τῶν μὲν εὐπατριδῶν βασιλέων τὸ εὐγενὲς εἰς ὑπεροψίαν ἐκπίπτει, καταφρονήσει τῶν ὑπηκόων, ὡς πολὺ ἐλαττόνων· οἱ δὲ ἐκ μετρίων πράξεων εἰς τοῦτο ἐλθόντες, περιέπουσιν αὐτὸ ὡς καμάτῳ κτηθέν· αἰδῶ τε καὶ τιμὴν ἀπονέμουσιν, ἣν εἰώθεσαν τοῖς ποτὲ κρείττοσιν. ἐμοὶ δὲ σκοπὸς μηδέν τι πράττειν ἄνευ τῆς ὑμετέρας γνώμης· κοινωνούς τε καὶ συμβούλους ἔχειν τῆς τῶν πραγμάτων διοικήσεως. ὑμεῖς δὲ ἐν ἀδείᾳ καὶ ἐλευθερίᾳ βιώσεσθε, ὧν ἀφῃρέθητε μὲν ὑπὸ τῶν εὐπατριδῶν βασιλέων, ἀποδοῦναι δὲ ὑμῖν ἐπειράθησαν, πρότερον μὲν Μάρκος, ὕστερον δὲ Περτίναξ, ἐξ ἰδιωτικῶν σπαργάνων ἐπὶ τοῦτο ἐλθόντες. γένους γὰρ ἔνδοξον ἀρχὴν αὐτὸν παρασχεῖν, καὶ τῷ ὑστέρῳ γένει ἄμεινον, ἢ κλέος προγονικὸν παραλαμβάνοντα, τρόπου φαυλότητι καταισχῦναι.

## Corrigenda.

Pag. 4. lin. 22. leg. αὐτὸν. Pag. 18. lin. 14. leg. εἶ. pag. 22. l. 3. leg. ἄνθρωπος. Pag. 27. l. 23. leg. προσελθὼν. Pag. 36. l. 4. leg. σὺ τὸν ὀβολόν. Pag. 47. l. 14. leg. τοῖς γόνασιν. Pag. 57. l. 6. leg. ἀφελέσθαι. Pag. 64. l. 18. leg. φωνεῦσαι. Pag. 71. l. 21. leg. τε. Pag. 77. l. 30. leg. εἰρήνη.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

Bd 521

VD18

ULB Halle 3
001 080 164

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15

# ELECTA CAPITA

EX

IPTORIBVS GRAECIS

IN VSVM

ENTVTIS SCHOLASTICAE

EXCERPTA.

1901 S 333.

HALAE

MPENSIS ORPHANOTROPHEI

MDCCLXXIII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-147509610-15